διαλέκτȣς, Hespe, Hächse, Hechse, Häxe, Hexe, Hachce, Haxe, συγγεν. Hacken (=Fersen, πτέρνα = πέρνα, λτ. perna, περόνη· βλ. 'Ρειμ. λ. πτέρνα). τὸ δὲ Hacken = Haken = ἄγκος, ὄγκος, ὀγκὺς, λτ. uncus, ἀγκὴ, διὰ τὸ ἀγκύλον καὶ καμπτὸν τȣ̃ ποδὸς (βλ. Колѣно). τὸ δὲ ἄντσα, ἐκ τȣ̃ ἄντα παραγόμενον (οἷον μέλος ἀντίον τȣ̃ ἔμπροσθεν σκέλȣς, ἤτοι, τȣ̃ ἀντικνημίȣ), ὃ πάνυ μοι δοκεῖ πιθανόν.

Цѣжу̀ (ἀναμίζω διὰ σίφωνος καὶ σωλῆνος τὸ ὑγρὸν. 2, διηθίζω, ϛραγγίζω) = Γρμ. seihen, seigen (saugen, λτ. sugo, ὕγω. βλ. Сосу̀)· ἢ, σάζω (σέζω,-δω, Цѣду̀), σάδω, ἀντὶ σάθω, σήθω (θ=δ). ἐκ τȣ̃ σάω, σέω, τὸ σήθω, ὅθεν καὶ τὸ ἤθω, ἠθέω, ἠθμὸς (Σ. ὑλιϛερὸν=ὑλιϛήριον, ϛραγγιϛήριον, καὶ ὑλίζω, σακκελίζω, τὸ διηθῶ, καὶ διϋλίζω), ἠθάνιον, ἤθανον, καὶ ὡς ἐκ τȣ̃ σήθω οἷον σήθανον, ν = λ, Цѣди́ло, καὶ Σ. τσαδήλα (οἷον, σαθήλη, σάθηλον), ἀντὶ σήθανον. [Ἔϛι δὲ τσαδήλα παρ' ἡμῖν ȣ̓ πᾶς ἠθμὸς, ἀλλ' ἰδίως, σκεῦος ποιμενικὸν, ἐξ ἐρίου ὕφασμα μανώτατον, ἐν ᾧ ἐμβάλλεται πηγνύμενος ὁ τυρὸς, πρὸς τὸ διηθεῖσθαι καὶ καταϛάζειν τὸν ὀῤῥὸν]. βλ. 'Ρειμ. λ. σαύω καὶ ἤθω.

Цѣлу́ю (φιλῶ τῷ ϛόματι, καταφιλῶ. 2, ἀσπάζομαι, προσαγορεύω. καὶ Поцѣлу́ю = καταφιλῶ), ἐκ τȣ̃ Цѣ́лъ, λτ. salvus (βλ. Цѣ́лый. βλ. καὶ Δοβρόβ. σελ. 99), ὡς καὶ τὸ λτ.

salvum esse jubeo = saluto = *οὖλέ τε καὶ χαῖρε, λέγω* (*συνήθ. χαιρετῶ*), *οἷον οὐλέω* (*οὖλον εἶναι εὔχομαι*), *ὅθεν καὶ καταφιλῶ* (*οἱ γὰρ προσαγορεύοντες ἠσπάζοντο*)· *καὶ τὸ χαιρετῶ δὲ = καταφιλῶ, καταχρηςικώτερον παρά τισι χυδαιοτάτοις τῶν καθ᾽ ἡμᾶς, οἷον „χαιρετῶ τὰς εἰκόνας, ἀντὶ τȣ͂ συνηθεςάτȣ, ἀσπάζομαι, καὶ φιλῶ. οὕτω φαίνεται καὶ τὸ* ЦѢлую *ἀπὸ τȣ͂ προσαγορεύειν εἰς τὸ φιλεῖν μεταπεπτωκός. Τὸ δ᾽ αὖ ἀσπάζομαι τ᾽ ἀνάπαλιν ἀπὸ τῆς κυρίας σημασίας τȣ͂, φιλῶ ἐπισπώμενος τὸν φιλȣ́μενον, μετέπεσε καὶ εἰς τὸ προσαγορεύω· ἀλλὰ καὶ τὸ προσπτύσσομαι=ἀσπάζομαι, καὶ, προσπτύσσομαι μύθῳ* (*Εὐρπ.*). *καὶ τὸ κύω δὲ=φιλῶ, καὶ θέμα τȣ͂* (*κύνω*) *κυνέω, προσκυνέω = λτ.* adoro = ad, oro· [*ἐκ τȣ͂* os, oris = *ὄσσις, ὄψ* (*ςόμα*)· *ὥςε τὸ* adorare = ore manum admovere, *χεῖρα πρὸς ςόμα τίθεσθαι, ἧπερ δὴ καὶ νῦν εἰώθαμεν προσαγορεύειν, οἷον προπίνοντες τὰ φιλήματα. ἔςι δὲ τὸ ἔθος μάλις᾽ Ἀσιανὸν· ὅθεν καὶ τὸ „ χεῖρα μȣ ἐπιθεὶς ἐπὶ ςόματί μȣ ἐφίλησα* (*Ἰὼβ, λα,* 27) = adoravi, *προσεκύνησα· καὶ πάλιν, ” χεῖρα θήσω ἐπὶ ςόματί μȣ* (*Ἰώβ, μ,* 4) = *προσκυνήσω σιωπῶν· ἢ τȣ͂το = σιωπήσω ὑπὸ θάμβȣς ἐπιθέμενος τὴν χεῖρα τῷ ςόματι, καθὰ καὶ ” δάκτυλον ἐπιθέντες τῷ ςόματι* (*Ἰώβ. κθ.* 9), *οἷον σιωπὴν ἑαυτοῖς παραγγέλλοντες ὑπὸ θάμβȣς καὶ*

ἀπορίας. Καὶ τὸ λτ. oro (εὔχομαι, προσεύχομαι), τὸ αὐτὸ ἂν εἴη τῷ ad-oro. Εἰ δέ τῳ μακρὸν δόξειε καὶ ἐργῶδες ὅτω πάνυ πόῤῥωθεν τὸ τῦ oro καὶ adoro ἔτυμον ἐκτολυπεύειν, ἔχοι ἂν καὶ ἁπλούστερον εἰπεῖν τὸ oro = ἔρω (ὕρω) = ῥέω· ὅθεν orator, κτλ. (βλ. Рещу̀), καὶ τὸ adoro = προσρέω (ὅθεν προσρήσω, προσρηθεὶς, κτλ.), καθὰ καὶ τὸ εὔχομαι = αὔχω, αὐδέω (αὔω, ἀΰω). ἀλλὰ πρὸς ταῦτά γ' ἴσως ἄνδρες σοφοὶ ἀντιφήσουσιν].

Цѣлый, Цѣлъ (σῶος, ὑγιὴς, ἀρτεμὴς, ἀκέραιος). Цѣлю (ἰατρεύω, ὑγιάζω)=(ϳέλος, σ-έλος, ε=ο)=ὅλος, οὖλος, ὀλόω, οὐλόω. [ἔλω, ἔολα, ἕλος, ὅθεν καὶ σόλος (εἶδος δίσκου στρογγύλου μετὰ τῦ πνεύματ. σ)=λτ. solus, solidus· συγγεν. ἅλω, ϳάλϝω, λτ. salvo; veo, salus, salvus (τὸ δὲ sanus=σά(ν)ος, σάος, σόω, σῶς, ὡς συνήθ. σόνω, τὸ σόω, σῴζω, λτ. sano). Γρμ. heilen, heil, 'Αγγ. hails (οὖλος), Βαλλησ. oll, olh, 'Αγγλ. whole, 'Ολλ. heel, κτλ. καὶ, ὅλος (πῦς), ὅλοι=Γρμ. alle. [οὐ παρὰ τὸ τέλος, τέλειος τὸ Цѣлый].

Цѣль (σκοπὸς, νύσσα), Γρμ. Ziel, 'Αγγσξ. tell = τέλος· Цѣлю (στοχάζομαι τῦ σκοπῦ, τιτύσκω), τέλλω, στέλλω, 'Αγγσξ. telen, Γρμ. zielen· τοῦτο δὲ συγγενὲς τῦ ziehen, καὶ τῦ zeugen, καὶ zeigen· ὡς τὰ ἑλληνικὰ τύκω (τιτύσκω), καὶ τέκω, τίκτω, καὶ τεύκω, τεύχω, δέκω, δείκω, καὶ τέω (τέλω), τέλλω (βλ.

'Ρείμ. λ. τίω)· τὰ θέματα τάω, τέω, τίω, τύω· ὅθεν τὰ, τέκω, τίκτω, τύκω, τύχω, καὶ τάνω, τένω, τείνω, τέλω, κτλ. βλ. Ча́ю, Чиню̀, *καὶ* Тяню̀, *κτλ.* (*βλ. καὶ 'Ρείμ. λ. τεύχω, τέκω*). *τὸ δὲ 'Ιτ.* tirare, *καὶ Γλ.* tirer=*τύρω ἀντὶ σύρω* (*ὡς καὶ τύρβη = σύρβη*), *καθὰ καὶ ἐν τῇ συνηθείᾳ.* " *σύρω εἰς τὸ νυσσάνιον, καὶ τραβῶ* (*λτ.* traho *ἐκ τοῦ* trans, *συγγεν. τράω, τέρω = πέρω, πείρω, περάω. βλ. καὶ* Тóргъ).

ЦѢна̀ (*τιμή*). ЦѢню̀ (*τιμῶ*) *τένω = τείνω, τίνω* (*τέω, τίω, τέτιμαι, τιμή*), *οἷον τενή, τένα* (*ὡς τένος, τόνος*)· *ἀλλὰ καὶ τὸ λτ.* censeo (censo) *ἴσως = τένσω, τένω* (*τ*=c, *ὡς*, exanclo=exantlo), *ὅθεν καὶ ὁ* census (*κῆνσος*). *τὸ δὲ* æstimo (*οἶμαι*), *ἐκ τοῦ* timo=*τιμῶ, καὶ* æs æris (*χαλκός· ἐπὶ φόρων τιμήματος*), *ὡς τὸ ἐκτιμῶ* = existimo, *ὅθεν τὸ 'Ιτ.* stimare, estimare, *Γλ.* estimer, *κτλ.*

ЦѢпъ (*μάστιξ, ῥάβδος εἰς τὸ ῥαβδίζειν πυροὺς*), *στέπος, ἀντὶ στύπος, λτ.* stipes. *ὅθεν* ЦѢпенѣ́ю (*ναρκῶ, αἱμωδιάζω, οἷον στυπαίνω*)=*στυπάω, στυπέω, ὃ σώζεται ἐν τῷ λτ.* stupeo, (*οὕτως ἐκ τοῦ* Де́рево, ДеревенѢ́ю). *τὸ δὲ Βμ.* ЦепенѢ́ти (*ῥήγνυσθαι*) *φαίνεται συγγενὲς τοῦ κόπω, κόπτω, κοπάω* [*κοπαίνω*], *τὸ δὲ κόπω=κάπω, κάβω, κάω, χάω* (*σχάω*), *ὡς καὶ τὸ* щепа́ю, *Σρβ.* цѣпати, *ὅθεν ἂν εἴη καὶ τὸ* ЦѢпь (*ἡ ἅλυσις*).

Цѣпъ, *καὶ Σλαβον*. Че́пъ (*ἔμβολον*), *συγγενὲς*, *σίφων* (*σέφων*. *βλ*. Цѣвени́ца). *πρβλ*. *Γρμ*. Zapfen, *'Ιτ*. zaffo, zipolo (Adelung).

Цѣпь, *καὶ Σλαβ*. Че́пь (*ἄλυσις*) *συγγεν*. *κάπω*, capio, *καύω*, *καὶ* (*κάβω*) *κάμβω*, *κάμπω*, *καμπὴ*, *κάμψις* (*κάψις*, *οἷον κάπη*, *σκάπη*, *ἡ σκαμβὴ καὶ κάπτουσα*, *κάμπτουσα*), *ὡς*, *κλοιός*. *βλ*. Цѣпъ (*μάστιξ*).

Цѣпи́ши - паши. *'Ρωσσ*. Щепа́ши. *βλ*. Щеплю́.

Ч.

Ч, ч, Ч (Червь, *τζέρβ*, *ὡς τὸ 'Ιτ*. ce), *τζ* = *σκ*, *κσ* (*ξ*), = *ζ*, *κ*, *τ*, *σ*· Ч = ϥ (90) *καὶ κατὰ διαλέκτ*. ч = ц (*βλ*. Цѣпъ). *τὸ* Ч *ἐν τοῖς εἰς* чу *ῥήμασιν ἀναλογεῖ πρὸς τὸ ζ*, *ἐν τοῖς εἰς ζω*, *φθόγγον τινὰ διαγράφον κυρίως τῆς τοῦ ῥήματος ἐνεργείας*, *ὡς ἐν τοῖς πεποιημένοις* Тлачу̀, *θλάζω*, Тручу̀, *τρύζω*, *κατὰ τὰ*, *λίζω*, *λύζω*, *συρίζω*, *κελαρύζω*, *κτλ*. *πυκνουμένου δ' ἐπὶ μᾶλλον τοῦ συριγμοῦ γίνεται ἡ εἰς* щу *κατάληξις* = *σδω* (*καὶ δ* = *ζ* = *σδ* = *στ* = *τσ*, *στσω* = *Σ*. *τσω*, *τζω*. *ὡς*, *κλωτζῶ*)· *ταῦτα δὲ ἀναλογοῦσιν ἐνίοτε καὶ πρὸς τὸν εἰς ξω*, *κσω μελλοντικὸν σχηματισμ*. *πρβλ*. *τὰ εἰς* zen, *καὶ* sen *Γρμ*., ächzen, krächzeu, schluchzen, schlucksen, *κτλ*. (*βλ*. *καὶ 'Ρειμ*. *ἐν λ*. *λα*-

ρύζω). Τὸ τοίνυν Ч δοκεῖ μοι=τῷ ἀρχαίῳ ἑλληνικῷ ἐπισήμῳ κόππα, τῷ καὶ ἀντιῤῥῷ (ἀντεςραμμένῳ ρῷ)=λατιν. q (ὅθεν καὶ τὸ Q). τοῦτο δὲ τὸ πάλαι ἐγράφετο καὶ ϛ, ῆ, ϟ, ὅθεν ἡ μορφὴ τȣ̃ Σλαβον Ч. τὸ δ' αὖ q φαίνεται 'πεπλασμενον ἐκ τȣ̃ C καὶ τῆς εὐθείας I (CI = IC, ὅθεν τὸ K)· αὐτὸ δὲ τὸ C ἐςι μία τις τῶν ἀρχαίων τȣ̃ γάμμα μορφῶν, ᾗ δὴ καὶ Λατῖνοι ἀντὶ τȣ̃ G ἐχρῶντο πρὸ τῆς τȣ́τȣ εὑρέσεως (καὶ τȣ̃το δὲ μεμόρφωται ἐκ τȣ̃ αὐτȣ̃ c καὶ ι). ὥσπερ ȣ̃ν τὸ λατινικὸν C μετέλαβε καὶ τὸν φθόγγον τȣ̃ τσὲ (συναφθέντος τȣ̃ συριγμȣ̃ καὶ παραθαρέντος τȣ̃ κ εἰς τ), οὕτω καὶ τὸ Ч ἀπέδωκε τὸν φθόγγον τὸν αὐτὸν μετά τινος ἰσχυροτέρȣ τόνȣ προσηυξημένον. βλ. καὶ τὸ γράμμα C. Εἰ δὲ ταῦτ' εἶεν ἀληθῆ, περιττοί τινες ἂν δόξαιεν εἶναι οἱ ταῦτα δὴ τὰ μὴ ἐν τῷ συνήθει 'Ελληνικῷ 'Αλφαβήτω περιεχόμενα γράμματα τῶν Σλαβόνων 'Αραβικὰ καὶ 'Αρμενικὰ καὶ 'Εβραϊκά, ἢ ἄλλ' ἄττα πάντως ἐθέλοντες εἶναι, οἷον δὴ καὶ τὸ 'Αρμενικὸν չ (tcha) παραβάλλεται πρὸς τὸ Ч (βλ. καὶ ш, щ, ц), ἐξὸν δὴ ταῦτ' ἀμέσως ἐν τοῖς ἀρχαίοις ἑλληνικοῖς γράμμασιν ἀνιχνεύειν (ἃ, κατὰ τὴν πλείςην δὴ γνώμην, μεμόρφωτ' ἐκ τῶν φοινικικῶν), ἐξ ἐκείνων γὰρ δοκεῖ τυπώσασθαι καὶ ταῦθ' ὁ τȣ̃ Σλαβονικȣ̃ ἀλφαβήτȣ ἕλλην πατήρ. καὶ μὴν καὶ ὁ Ч҃ ἀριθμὸς ἰσοδυνα-

* *

μῶν τῷ ἑλληνικῷ ϟ (90), *ἀποδείκνυσι τὸ* Ч *αὐτὸ τοῦτο εἶναι τὸ παρὰ τοῖς ἀρχαίοις ἐπίσημον κόππα μεταξὺ τοῦ π, καὶ ρ, παρεντιθέμενον, ὃν δὴ τόπον ἐπέχει καὶ νῦν τὸ* q *ἐν τῷ λατινικῷ ἀλφαβήτῳ, ὡς ὁ αὐτός ἐστι καὶ ὁ παλαιὸς ἑλληνικός. βλ. παλαιογραφ.* Montfaucon, *σελ.* 123. *κτλ.*

Чабѐръ, *καὶ* Чабръ, *Σερβ.* Чубар (*τύβαρα, ἀντὶ τύβρα = θύβρα*), *θύμβρα.*

Ча́вка, *Σρβ.* Кавка, *Βμ.* (*κολοιός*), *ὡς τὸ κάβηξ, -βαξ, καύηξ, Βμ.* kibitz (vanellus), *κήξ,* ceyx, gavia.

Ча́вкаю (*λαφύσσω, τρώγων χανδὸν ἠχῶ· ὡς ἐκ τοῦ* Ча́ву, *καύω, πω*), *κάπτω=συνήθ. χάφτω* (*τ = κ οἷον κάπκω*).

Ча́до (*τέκνον*). Ча́дце (*τεκνίον*) *τατὸν* (*θατὸν*), *ἀντὶ τυτθὸν, τιτθὸν· ἐκ τοῦ* (*τατή*), *ταθή, τήθη, τηθὴ* (*παρὰ Γεωργιανοῖς*, deda, dada= *μήτηρ. Τουρκικ. καὶ Σ.* dadà = *τροφὸς*), *καὶ τιθὴ, τιτθὴ, τιτθὸς, τιτθίον* (*Γρμ.* Zitze, *'Αγγοσξ.* titte, *Γαλ.* téton, tette, *Κελτ. καὶ παρὰ Βρέτοσι*, tith, teth, *Βελγ.* tuyte, *κτλ.*). *τὸ θέμα θάω, θαίω, θατὸς, καὶ τιθαίω, τιθαίβω* (*βλ.* Дѣва, Дѣти, Дипiя). *ἐκ τοῦ θάω, τηθή, καὶ ἡ μήτηρ Τηθὺς* (*Ὅμηρ.*), *καὶ ἡ Σ.* (*παρὰ Χίοις*), *τζάτσα* (*=τάτα, τάτθα*) = *τηθὴ* (*μήτηρ, μάμμη, καὶ ἡ θεία = τηθὶς = Γαλλ.* tante. *βλ.* Тéтка). *τὸ δὲ τιτθὸς ἔτι = τυτθὸς, βλ. 'Ρεῖμ.* [*Τὸ Γοτθικ.* thiot (*λαὸς, ὄχλος*), *καὶ* thiuda (*ἔθνη*), *καὶ ἀρχαίως,* diet

(ἄνθρωποι), κτλ.· ἐκ τέτε τινὲς ἠτυμολόγησαν τὸ Teutsch, *καὶ* Deutsch=*Τεύτων, Τεύτονες (οἱ Γερμανοὶ)· ἄλλοι δ' ἄλλως τευτάζεσιν, οἱ πάντες ἀμφίβολα περὶ τε̃ ὀνόματος, βλ.* Leibnitz]. *Τὸ δ' ἐν* Чадо *πιθανω̃ς ἂν ἐτυμολογοι̃το καὶ παρὰ τό* Чаю *(πρωτότυπος τε̃* Чиню) = *τάω, τέω, τίω, ὅθεν καὶ τέκω, τέκος, τίκτω, τικτὸν (καὶ ὡς ἐκ τε̃ τάω, οἷον τατὸν,* Чадо).

Чайка *(λάρος) κάϋξ, κος, κη̃ϋξ, καύηξ,* Чавка.

Чадъ *(ἀτμὸς),* Чажу̀ *(ἀτμίζω) σ-αδμὸς, ἀδμὸς (ἀτμὸς), σ-άζω. [ἄζω, ἀάζω, ἄω, σ-άζω (τὸ σ πνευ̃μα, ὡς λτ.* halo *(ἄω, ἄλω), ὅθεν, οἷον, σ-άδος,* Чадъ = *ἄδα, ἄζα, ὡς καὶ ἄζος, ὄζος = ἀδμὴν, ἀτμὴν. τε̃ ἀτμὸς, ἀθμὸς συγγεν. καὶ τὸ Γρμ.* Athem, *καὶ μετὰ τε̃ Ϝ,* wathem *(Ϝαθμὸς), ὅθεν ἀρχ.* Schwadem, *ἤδη,* Schwaden *(μεταλλείων ἀτμὸς), ὡς καὶ τὸ Κτσξ.* schwaien = wehen = *Ϝαίειν, αἴειν = ἄειν, ἄϜειν, αὔειν, εὔειν = πνέειν, βλ.* Adelung.]· *ἐκ τε̃ ἀδμὸς, ἀθμὸς, καὶ τὸ Σ. ἀχνὸς (ὡς σαυχμὸς, σαχνὸς, μ = ν· καὶ θ = φ = χ· ὅθεν πάλιν τὸ Σ. ἀμπώχνω = (ἀμπώχω) ἀμπώθω = ἀπωθω̃· λέγεται καὶ σπρώχνω = σ-πρώχω (ϳπρώθω), πρώθω, ἀντὶ προώθω, προωθω̃· μέμνηται δὲ τε̃ πρώθω, ὡς ἀρχαίε, καὶ ὁ Γραμματ. Θεοδόσ. βλ. καὶ* Лайно).

Чара *(ποτήριον, ᾧ πίνεσι σίκερα), κάρα, κράας, κέρας. (ὅτι δὲ κέρασιν ἀντὶ ποτηρίων*

οἱ ἀρχαῖοι ἐχρῶντο, δῆλον ἐκ πολλῶν). βλ. καὶ Чáша.

Чáры, Чáръ (θέλγητρον, ἐπῳδή). Чарýю (γοητεύω, κληδονίζομαι). Чаро-дѣ́й (γόης, φαρμακὸς, ἐπῳδὸς) κάρυς, καρύω = (γᾶρυς) γῆρυς, γηρύω, γαρύω (καρύω, καρύσσω, κηρύσσω), λτ. garrio, καὶ γαρύσσω, ὅθεν συνήθ. γκαρύζειν = ὀγκᾶσθαι· „ μόσχος γαρύεται (Θεόκρ.), οὕτω καὶ γόω (=βόω, βοάω), γόης, γόητος, γοητεύω, συνήθ. γητεύω. βλ. Колдýнъ, καὶ Гадáю, καὶ Обавáю, κτλ.

Чáстый, Чáстъ (συνεχὴς, πυκνός). Чащý (πυκνόω, θαμίζω) τάζω, τάσσω, ἀντὶ θάσσω=σάσσω, σάζω, σάττω, σακτὸς, καὶ Чáща (ἄλσος, δάσος δασὺ). τὸ δὲ λτ. densus=αἰολ. δένσος =δάσος, σὸς, δασὺς, ὡς βένθος=βάθος· ἢ μήποτε καὶ τὸ Чáстъ = δάσος, δασὺς, δασύτης; [δ = τ = ч. ἐκ τοῦ δάω, δάσω, τὸ δάσος· καὶ ἐκ τοῦ δάζω οἷον δάϛος, δαϛὸς, Чáстъ, Чащý, δάσδω]. ἢ καὶ, καϛὸς (κάζω, ὡς κέζω, κέκοδα, χοδρὸς, χονδρὸς), ἐκ τοῦ κάω =χάω=χαϛὸς, χωϛὸς, χυϛὸς=Гýстъ,-стый.

Чáсть (μοῖρα, μερὶς, μέρος), συγγεν. δάζω, (δαίω), δαϛὴ, δαϛόν. ἢ, τάζω (Тащý), ταϛὸν, -κτὸν, τεταγμένον (τάω, τίω· συγγεν. Чтý).

Чáсъ (ὥρα, χρόνος, καιρὸς) φαίνεται μὲν συγγν. Γρμ. Zeit, καὶ λτ. ætas, ϳætas=ἔτος (Adelung). τὸ δὲ ἔτος δοκεῖ δήπου παρὰ τὸ ἕω, εὕω, ἄω, αἴω, ὅθεν καὶ, αἶθος = aestus, aestas (θέρ-

μη, θέρος). οὕτω δὲ καὶ τὸ ὥρα ἐκ τῦ αὔρα. Χρόνος, αὔρα, ὥρα ἐν πολλαῖς γλώσσαις ἐςὶν ἡ λέξις ἡ αὐτή. (βλ. καὶ Ῥείμ. λ. αὔρα). Τὸ δ' αὖ Γρμ. Stunde (ὥρα), ἐκ τῦ Σβεκ. stünda (κόπτειν κολέειν, tundere) = κόμμα, τμῆμα (ὡς χρόνυ μόριον), πρβλ. τὸ λτ. tempus (καιρὸς), οἶμαι γ', ἐκ τῦ τέμπω, τέμβω=τέμω, τέμνω, τόμος (ὡς τὸ κάμνω, κάμω, μ=β, ἐκ τῦ καύω, κάβω, κάμβω, κάμπω-πτω· καὶ τὸ templum ἐκ τῦ τέμενος, τέμνω). τὸ δὲ τέμνω =κόπτω. [ἄξιον σημειώσασθαι τὴν συμφωνίαν τῦ λτ. tempus ὁ καιρὸς(ἐκ τῦ κάρα)μετὰ τῦ tempora, οἱ κρόταφοι (κροτέω)· ὕτω καὶ τὸ Γρμ. Schlaf, Schläfe (κρόταφοι), καὶ Schlag, ἐκ τῦ schlagen=κόπτειν, κρούειν, κροτεῖν. ὡς τόπος, δηλονότι, ὅπυ κρούει, σφύζει ἡ ἀρτηρία. βλ. Ῥείμ. λ. καιρὸς]. ἀλλ' ὁ σοφὸς Δοβρόβισκος καὶ μάλα γε πιθανῶς παράγει τὸ Ча́съ ἐκ τῦ Ча́ю (τάω), καὶ εἴη ἂν Ча́съ=τάσις, καὶ δεῖξις, δεῖγμα χρόνου. βλ. Ча́ю.

Ча́пъ, Βμ. Ца́пля, Ρωσ. (πελαργός) κάβας, Ча́вка.

Ча́хну (τήκομαι, ἐπὶ φθισικῶν· ὡς ἐκ τῦ Ча́ху) τάκω (τήκω)· εἰμή γε συγγεν. τῦ Ся́кну = σαύκω, σαύω, σαυκὸς, σαχνὸς, σαχλὸς, Ча́хлъ, Ча́хлый (ξηρὸς, ἰσχνὸς). βλ. Ся́кну.

Ча́ша (ποτήριον), ὑποκορις. Ча́шка (ὅθεν καὶ ἡ τῆς συνήθ. τσάσκα), Σλαβ. Ча́шица (τσασκίτσα), κάσσα, ἀντὶ κόσσα (α = ο), κόττα, κόδδα, κοδδὰ, κόδος, κῶδος, κῶθος, κώ-

θων (=*κῦθος*, *κύβη*, *κύμβη*, *κύαθος*, *κυαθὶς*, *κυαθίσκος*, *ἐκ τῦ κύω*, Кую, *κόω*, *κάω*. *βλ. 'Ρείμ. λ. κώθων*), *οὐ γὰρ*, *οἶμαι*, *δήπυ τὸ* Чáша = *Ταταρ. καὶ* Τυρκ. *καὶ Σ. τάσι*, *ὅθεν καὶ τὸ 'Ρωσ.* Тáзъ.

Чáю (*προσδοκῶ*, *ἐλπίζω*) *τάω* = *τέω*, *τέκω*, *δέκω*, *δοκῶ* (*προσδοκῶ*), *δέχω*,-*χομαι* (*ἀπεκδέχομαι*, *Σ. ἀπανδέχω*, *ἀπανδοχὴ*, *κτλ.*). *'Η ἰδέα*, *ἢ τὸ τί ἦν εἶναι τῦ ῥήματος ἐμφαίνει τάσιν μετὰ κινήσεως* (*βλ.* Чиню), *ὅθεν καὶ τάσιν ψυχῆς*, intentionem animi· *καθὰ καὶ το ὀρέγω*, -*γομαι*, *καὶ ἐφίεμαι*, *καὶ μάω*, *μέμαα* (*καὶ μένος*, *μενοινὴ*, *μενοινάω*, *μενεαίνω*, *κτλ.*)· *οὕτω καὶ τὸ Γρμ.* denken (*οἴεσθαι*, *φρονεῖν*), *ἐκ τῦ* dehnen=*τένειν*, *τείνειν* (*τέω*, *τάω*, *τάζω*, *τάσδω*, *Γρμ.* tasten, *ὅθεν καὶ τὸ Γλ.* tâcher. *βλ. 'Ρείμ. λ. μάω*)· *καὶ τὸ ἀτενίζω δὲ ἐπὶ ὁράσεως ἐκ τῦ τένω*, *τέω*, *τύω* = *λτ.* (tueo), intueo· *οὐ γὰρ δήπυ τὸ* Чáю = *σάω* = *θάω* (*θεάω*-*ῶμαι*), *ὡς τὸ*, Уповáю. *ἔςι γὰρ τὸ* ч=*τ*. [*οὕτω καὶ ἐν τῇ Σ. πολλάκις τὸ τ τρέπεται εἰς τὸ συριςικὸν τσ*, *ἢ τζ. οἷον τέττιξ*, *τέττιγας* = *τζίτζικας*. *τσιτόνω* = *τιταίνω*· *τσυμπῶ* = *τύμπω* (*τύπω*, *πτω*). *κοτσιλία* (*κόπρος πτηνῦ*), *κοτσιλῶ*=*καττιλῶ*, *καττιλία*, *συγκοπ. ἐκ τῦ κατατιλῶ*, *κατατίλη* (*ὡς*, *καττανύω*, *καττύπτω* = *καταταννύω*, *κτλ.*). *ἢ γῦν ἐκ τῦ σπατίλη*, *Βοιωτικ. ἀντὶ σκατίλη* (*ἐκ τῦ σπὰς* = *σκὰς*, *κὰς*,

κῶς, κτλ. βλ. Ῥείμ.), ὅθεν (σκατιλία), κα-(κο)τσιλία, κτλ.]

Чвáкаю (προφέρω διὰ τῶν ὀδόντων ἀσαφῶς καὶ ἀδιαρθρώτως, γρύζω) συγγεν. βάζω, βαβάζω· ἐκ τῦ ἀρχ. Βáкаю, ὅθεν Вавáкаю (Вáку, вáю, σ-βάγω, βάζω, βάω, φάω).

Чвркáм, Чвркáши, Σερ. (κρούειν). Чвркнути (τρίζειν)=(σ-βράκημι) βράκω, βράχω, βρύκω, βρύχω, κτλ. καὶ Κρτ. Ἴзверчим· ἢ σ-κϜέρκω, κϜέρκω = κέρκω, κρέκω. (ὀνοματοποιΐαι. βλ. Цркá).

Чвáнъ (ξεςὸν, καμψάκης. ὅθεν ἡ τῆς συνηθ. σβάνα = οἰνοδόχος λάγηνος, καὶ σβανάρω, σβανίζω= κωθωνίζω)· „ ἔσβηνες (ἔσβηνον?), εἶδος ποτηρίϋ (Ἡσύχ. ἀλλὰ καὶ ἡ γραφὴ ἐσφαλμένη, καὶ τὸ ἔτυμον ἀμφίβολον)·"Ἐςι δὲ μᾶλλον τὸ Чвáнъ = τιβὰν, τιβὴν, τιβῆνος, καὶ τίβηνος (λέβης)=ἴβηνος (σωρὸς, θήκη), ἰβάνη (ἄντλημα· μετὰ τῦ τενευματισμ. τ=ч, συγκοπῇ Чвáнъ, Σ. σβάνα, ἀντὶ σιβάνα, τιβάνα, ἰβάνα), βλ. Ῥείμ. λ. τιβήν. [Ὁ Ἡσύχ. ἔχει καὶ βᾶνος, βῆνος (κιβωτὸς ἐκ τῦ βάω, βαίνω)=Γρ. Wanne, βλ. Ῥωσ. Вáна (ὡς καὶ κάμψα=κιβωτὸς, συγγενὲς καμψάκης). ἢ βύνα, βύνη=βυθὸς. ὡς ἐκ τῦ βυθὸς, βύθος, καὶ ὁ πίθος, ι=υ, ὅθεν καὶ ἡ βυτίνη, πυτίνη, βύτις, βῦττις, λτ. buttis, Γρμ. Butte, βωτίον (βωτίλλιον), Γλ. bouteille, κτλ. καὶ ὁ πύνδος, ὅθεν λτ. fundus, βλ. Ῥείμ. λ. πίθος].

Чва́нюсь, *'Ρωσσ.* (*καυχῶμαι*). Чва́нъ (*κενόδοξος, καυχηματίας*) = *λτ.* vanus, *F*vanus, *φανὸς, φάνω, φαίνω = φαντάζομαι. πρβλ. Γλ.* vanter. *ἢ μᾶλλον, συγγενὲς* Звоню́, Звóнъ = *σ-φωνῶ, φωνέω, φῶναξ· ὡς, αὔω, αὔχω, αὐχέω, συγγεν. αὔω, αὐδὴ, αὐδέω.*

Чéзну (*τήκομαι, φθίνω, ὡς ἐκ τȣ̃* Чéзу, *στέζω, στ = τσ, τσέζω*) = *ςάζω* (*τάζω, τάγω = τάκω, κ = β,* tabo, *τήκω*), изчéзну, изчеза́ю = *ἐκλείπω, οἷον ἐξ-ςάζω, ἐκςάζω, Σ. ξεςάζω* (= *ἀποςάζων ἐκκενȣ̃μαι*). *βλ.* Тóщъ.

Чéй, Чья, Чье, *τέος, τίος, τεῖος, α, ον = τίς. Τὸ 'Ιων. τέως, ὅθεν τέω, τέοισι, τέων, κτλ.* (*τέϊ-ς, βλ.* Тóй), *καὶ „τεῖος = ποῖος. Κρῆτες* (*'Ησύχ.*). *βλ. τὸ Σλαβ.* Чій.

Чека́нъ (*σφῦρα, σμίλη*), *συνήθ. τσουκάνι = τυκάνη· ὡς καὶ, τύκοι, τύχοι* (*λιθοξοϊκὰ ἐργαλεῖα, ἐκ τȣ̃ τύκω, τεύχω*), *καὶ Τȣρκ.* tziokan. *'Εκ τȣ̃ τυκάνη, καὶ ἡ συνήθ. δουκάνη, καὶ παρὰ τοῖς Ποντικοῖς τȣκάνιν* (*τȣκάνιον*) = *τριβάνη, ἢ ἀλοᾶμεν.*

Чéлнъ (Члн), *Πολ.* czoln, *Βμ.* Члун, *Κρν.* zhovn, zholn, (*μονόξυλον, εἶδος πλοίου*), *κέλης, λτ.* celox, *Γρμ.* Zille.

Чéлнъ, *προφέρ.* Чóлнъ (*κερκὶς ὑφαντικὴ, συνήθ. σαγίττα*), *φαίνεται = κῆλον* (*κέλον*), *κᾶλον* [*κῆλα = βέλη. κᾶλον, ξύλινον βέλος* (*Σȣΐδ.*), *ὅθεν καὶ κελεὸς, κελέων, κελέοντες* (= *ἰσόποδες*), *καὶ = τοῖς Γρμ.* Keil, Kiel, Keule,

κτλ.]· *οἶμαι δὲ μᾶλλον* Чéлнъ=*λτ.* telum=*τηλὸν*, *τῆλον* (*ὅθεν τῆλε*, *τηλȢ*), *ἐκ τȢ τάω*, *τέω*, Téю. *βλ.* Тяну̀), *τηλὸς*, *λὴ*, *λὸν*, *ἀρχ. λτ.* tellus, tela, telum, *παρ' ὃ* tela *μὲν*, *ἡ* (*τήλη*), *τὸ τεταμένον πηνίον*, telum *δὲ τὸ βέλος ὡς* (*τῆλον*), *τῆλε ἰδν.* '*Η δὲ Σ. σαγίτταν εἶπε τὴν κερκίδα ἐκ τȢ λτ.* sagitta, *συνωνύμȢ τȢ* telum, *ὃ δὴ καὶ παρέχει ὑπονοεῖν*, *μήποτε καὶ τὸ βέλος καὶ* telum *ἐσήμαινε τὸ πάλαι καὶ τὴν κερκίδα.*

Челò (*μέτωπον*), *συγγεν.* Чиню̀ (чáло, на-чáло) = (*τέλω*), *τέλος* (*ἄκρον*, *ἀνα-τολὴ*, *ἀρχὴ*· *τὰ τέλη* = *αἱ ἀρχαί*). *βλ.* Чиню́ *καὶ* Тѣ́ло.

Человѣ́къ (*ἄνθρωπος*), *οἱ μὲν παρὰ τὸ* Слóво *φασὶν*, *οἷον* Словѣ́к (*ὡς τὸ* Словéсенъ) = *λόγιος*, *λογικός* (*ὡς καὶ τὸ μέροψ*, *ἐκ τȢ μέρω* = *ἔρω*, *εἴρω*, *μείρω*, *μεῖραξ*). *οἱ δὲ παρὰ τὸ* Челò *καὶ* вѣ́къ (*ȣκ οἶδ' ὅπως συνάπτοντες τὸν αἰῶνα πρὸς τὸ μέτωπον*). *Ἔμοιγέ τοι δοκεῖ παρὰ τὸ* Чя (Чяю, *βλ.* Чиню̀)=*τάω*, *τέω* (*ὅθεν τέλω*, *τελεύω*, *τελέθω*, *τέλεος*), *τέλεϝος* (*οἷον τέλεβος*, *τελεβὸς*, *ὡς τήλεφος ἐκ τȢ τηλέω*), *ἐπὶ τῆς σημασίας τȢ τελέθων*, *τελεσθεὶς*, *τεχθεὶς* = *φὺς* (*ὡς τὸ φῶς*, *ȣ παρὰ τὸ φάω*, *φάσκω*, *ἀλλὰ φώω* = *φύω*, *ὅθεν*, *λτ.* facio, fore)· *ὥςε τὸ* Человѣ́къ *συγγενεύει μὲν πρὸς τὸ* Челò *ὡς ἐκ τῆς αὐτῆς ῥίζης*, *καὶ τῆς κοινῆς ἰδέας τῆς τάσεως*, *βλ.* Чиню̀· *ἀλλ' ἐκεῖνο μὲν τέτακ-*

ται ἐπὶ τῦ τῆλε τεταμένου καὶ ἄκρυ, ἢ ἐξέχοντος μετώπυ. τὸ δὲ Человѣк *ἐπὶ τῦ τέλλοντος καὶ τικτομένυ ἀνθρώπυ· ἔχει δὲ τὸ* ѣкъ *κατάληξιν, ὡς ἐκ πρωτοτύπυ* Челов. *τὸ δὲ* ѣк=ек=*εξ (κατάληξ.), οἷον τελέβηξ=τελέβης, ἀντὶ τελήεις, τέλεος (ὡς, κύλας = κύλαξ, δρύας, δρύαξ, κτλ.), ἢ, τελέφαξ, φ=θ, τελέθαξ, ἀντὶ τελέθας,-θων. βλ. τὸ συγγενὲς* Челядь. [*Ἀπίθανον δὲ πάντων μάλιςά μοι δοκεῖ καὶ ὅ τισιν ἀρέσκει τὸ* Человѣкъ *εἶναι* = Цѣлый вѣкъ, *αἰῶνι γὰρ, καὶ τύτῳ παντὶ, τὸν ἄνθρωπον παραβάλλειν ὐκ ἐφεῖται, νομίζω, τοῖς περὶ ὀνομάτων ὀρθότητος βυλομένοις ὀρθῶς, ὅσον οἷόν τε, σκοπεῖν. Παρὰ τοῖς γλωσσογράφοις εὑρίσκεται καὶ* kelepe = *ἄνθρωπος, κατὰ τὴν* Sasak *λεγομένην Ἰνδικὴν διάλεκτον· ἀλλ' ὐδὲν κοινὸν τύτῳ καὶ τῷ* Человѣкъ].

Че́лядь (*οἰκογένεια, οἰκιακοί· ἀθροιςικόν. παρὰ τὸ* Че́ло, *ὡς*, Ру́хло, Ру́хлядь), *τέλαθος, τέλεθος=τελετὴ, τέλεσμα· τέλω, τέλλω, τελέθω =εἰμὶ καὶ γίνομαι· ὡς καὶ τὸ ἀνατέλλω=ἀνίημι, φαίνω, ἀναφύω, παράγω εἰς τὸ εἶναι· οἷον" γῆ ἀνατέλλει ἀμβροσίαν, ὕδωρ. κτλ. καὶ " ἀνατείλας Διόνυσον=γεννήσας (Πινδαρος). καὶ ἐμφαίνει τὸ* Че́лядь *τελεθόντων, γεγενημένων ὄντων σειρὰν, γενέθλην, γένος, φυλήν· καὶ γὰρ " γένος φυτευθὲν τὸ λοιπὸν ἀεὶ τέλλεται (Πίνδ.). τῦ δὲ τέλλω, καὶ στέλλω τὸ θέμα τέω, ὅθεν καὶ τὸ τέκω, τέκνον, τίκτω· ἐκ δὲ τῦ*

τέκω καὶ τὸ τέκμαρ = τέλος, καὶ (δέκω = τέκω), δεῖγμα. βλ. Чаю, Чиню, Человѣкъ.

Челюсть (γνάθος, σιαγὼν), βλ. Члѣнъ. οὐ γὰρ, ἴσως, ἐκ τοῦ Членъ (κερκὶς, ὡς ἐκ τοῦ ὀςοῦ τῆς σιαγόνος), οἷον τῆλυξ, τῆλυς (καθὰ καὶ τὸ κερκὶς λέγεται καὶ ἐπὶ ὀςῶν).

Червь (σκώληξ) σ-έρπης, (ἕρπης = ἑρπετὸν, ἕρπω, ϝέρπω, λτ. serpo). ἢ σ-έρβις (β = μ), σ-έρμις, (σ, πνευματισμὸς) = vermis = ϝέρμις, ϝόρμις, ὅρμιξ, φόρμιξ, λτ. formica, βόρμηξ, βύρμηξ, Γρμ. Wurm (= μύρμηξ. „ὅρμιξ, μύρμηξ, σκώληξ. 'Ησύχ.)· τοῦτο δὲ ἢ παρὰ τὸ ὁρμὸς, εἱρμὸς (ἔρω. βλ. 'Ρείμ. λ. φόρμιγξ), ἢ παρὰ τὸ μορὸς (μαῦρος. βλ. Мравей), μορβὸς, ὀρφὸς, ὀρφνὸς, συγγεν. ἔρεβος, ἐρεβὸς (ἐρβὸς, σ-έρβος, Червь)=μέλας (ἅπαν μέλαν ἑρπετὸν κινούμενον· ὅθεν καὶ ἡ Σ. μορμουρίτζα = μορμυρίσκη ἐκ τοῦ μόρμυρος, μόρμος, κτλ. βλ. 'Ρείμ. λ. μορμώ. ἐκ δὲ τὸ ὀρφὸς, καὶ ἡ μορφή). τὸ μέντοι σέρφος ἕτερον δοκεῖ μοι τοῦ Червь. [ἴσως δ' ἄν τις, οἷς ἔφθημεν εἰπόντες ἐκ ἀγαπῶν, εἴποι τὸ Червь ἐκ τοῦ Тереть, Трѣть, Тру (κατὰ τὸ Чрево), = τέρϝης, τέρης· ὡς τὸ τερηδὼν, teredo]. 'Εκ τοῦ Червь, τὸ Червецъ [κόκκος, ὕσγη, κόκκος πρίνου, Σ. πρινοκόκκιον λτ. coccus, ὅθεν ἴσως καὶ τὸ Γλ. Cochenille, κοκκινίλλη, ἀντὶ κοκκίνη (κόκκινον), τὸ Σ. κριμέζι (ἐκ τοῦ 'Αραβ. ker-

mes, *Περσ.* kirm, *κριμεζῆς*, carmoisi, *κτλ.*), *ὡς πάλιν τὸ Γλ.* vermeil, vermillon, *ἐκ τῦ λτ.* vermis, vermiculum, *διὰ τὸ σκωληκοειδὲς ἔντομον, ἐξ ῦ ἡ κόκκινος βαφή*]. *ὅθεν καὶ* Чéрвень (*κόκκινον*), *καὶ* Чéрмень (*κόκκινος*) *ὃ παρὰ τὸ* kermes, *ἀλλ'*= Чéрвень. (*β* = *μ. ὡς, τερέβινθος, τερέμινθος, κτλ.*). Червлéнный (*κόκκινος, ὑσγινῦς, ἐρυθρὸς*). *κτλ.*

Чередà, *βλ.* Чредà.

Чéрезъ, *'Ρωσσ.*=*Σλ.* Чрéзъ, Чрѣ́зъ (*διὰ*), *παρὰ τὸ* Терéть (*Σλβ.* Трѣть)=*τρέσει, τρήσει, τρύσει* (*τρύπα, τρύω*, Трỳ), *ὡς τὸ λτ.* trans *ἐκ τῦ τράω* (*τρήσω*). *καὶ τὸ* Сквóзѣ = *σχϜάσει* (*σχάσει*). *οὐ γὰρ οἶμαι τὸ* Чрéзъ = *Σερβ.* Крóзъ (*βλ.* Скрóзѣ)· *καί τοι γε καὶ* к = ч, *ὅθεν καὶ 'Ρωσ. Σρβ.* Черéшня, Чрéшня = *κέρασος, κερασία. βλ. καὶ* Чи́стъ.

Чéренъ, *Σλαβ.* Чрéнъ (*λαβὴ, οἷον ξίφους*), *Πολ.* trzon (*λαβὴ καὶ καυλὸς*, caudex· *καὶ* trzon, trzonowe, *γόμφιος ὀδοὺς, κραντὴρ, Λυσατ.* Чроновцъ, *καὶ ἀρχ. 'Ρωσσ.* Череновые, *γόμφιοι, μύλαι· βλ.* Члéнъ, *καὶ Δοβροβ.* 187), *ὡς ἐκ τῦ Πολων.* trzon, *φαίνεται*=*τόρνος, τόρος, τορὸς* (*τορευτὸς, ἐκ τῦ τορέω, τέρω*, Терéть). *ἔςι δ' ὖν, οἶμαι, συγγεν. τῦ* Крáнъ = *κράνον, κέρας, κόρος, κορύνη κτλ. ὅθεν καὶ* (*κραίνω*), *κραντήρ.* (*τὸ δὲ Πολων·* t *ἐν τῷ* trzon *κατὰ τροπὴν*

τȣ̃ ч). τὸ δ' αὖ Ῥωσσικ. Ефесъ (ξίφȣς λαβὴ), ἐκ τȣ̃ Γρμ. Gefäss (ἄγγος, ἔγχος). παρὰ τὸ fassen=βαςᾶν (κρατεῖν, ἔχειν).

Че́ренъ, Че́рный, Σλαβ. Че́рнъ (чрн), Ἰλλυρ. црн (μέλας), συγγεν. (κέλας) κελανὸς, κελαινὸς? (λ=ρ, κεραν-ὸς, κερν-ὸς· ὡς, κρίβανος, ἄργος=ἄλγος, κλίβανος, βλ. καὶ Чле́нъ· τὸ δὲ κελαινὸς = μελανὸς, μέλας, καὶ κμέλας. Πάφιοι). ἢ Че́ренъ=κορὸν (κατὰ διάλεκτον, τὸ μέλαν. Μ. Ἐτυμ.), Πολ. kary· καὶ Τȣρκ. καρὰ. κτλ. ἢ τὸ Че́ренъ ἐςὶ τὸ τῆς Σ. γερανιὸς (φαιὸς, μέλας), καὶ τȣ̃το ἢ παρὰ τὸ γέρανος (γέρος, Γρμ. greis)· ὅθεν ἴσως καὶ τὸ βυζαντινὸν, ἱεράνεος (cæruleus), ἢ ἐκ τȣ̃ ἠερόεις, ἠέριος (ἠεροειδὴς). τὸ δὲ Σ. γραβανὸς (φαιὸς, σποδοειδὴς, ψαρὸς, λευκόφαιος), τὸ καὶ γρίβος (ἀντὶ γράβος), ἐκ τȣ̃ χραυὸς, λτ. ravus, ὅθεν καὶ τὸ Γρμ. graw, grau (βλ. Ῥείμ. λ. χαροπός). Ἐκ τȣ̃ Че́рнъ καὶ τὸ Черни́ло (μέλαν γραφικὸν), ὅθεν τὸ Τζερνίλον, ὄνομα κωμιδίου Θεσσαλικȣ̃ παρὰ τὴν Ἐλασσῶνα [κτήματος ἡμετέρȣ· εἴποτ' ἔην γε! ἐξέσω δὲ ἡμῖν μέχρι γȣ̃ν ὀνόματος τῆς σφετέρας κτήσεως μεμνημένοις ἀπολαύειν· οὐ μὰ τὴν Ἑςίαν κορυζῶσι κατὰ τȣ̃ς ὀψιπλέτȣς, ἀλλ' ἠθῶν τε προτέρων καὶ δόμων πατρῴων (ὧν καὶ καπνὸν ὑπερήδιςόν ἐςιν ἰδεῖν ἀποθρώσκοντα) πόθον διαπαιδαγωγȣ̃σι, μακρὰν πατρῴας γῆς ἀπεξενωμένοις!]· τὸ γȣ̃ν Τζερνίλον εἴποις ἂν

Ἑλληνικώτερον Μελάνιον, ἢ Μελάντιον(κατὰ τὰ, Μέλανα, Μέλαντος, κτλ.), διὰ τὸ μελάγγαιον τῆς χώρας καὶ τὸν αὐτόθι μάλιςα φυόμενον μελαναιθέρα σῖτον [Σ. μαυραγάνιον, ἐκ τȣ̃ μαῦρον, ἄγανον=ἄκανον (ἀκὴ, ὅθεν καὶ ἡ ἄκανθα) = ἀθὴρ (καὶ καταχρηςικώτ. αἰθήρ· ὅθεν, μελαναθὴρ, καὶ - ναιθήρ. ἐκ δὲ τȣ̃ ἀθὴρ τὸ Ὁλλανδ. Adere, καὶ Γρμ. Aehre]. Καὶ Черни́чie (συκάμινος) κατὰ τὸ μορέα, συκομορέα, ἐκ τȣ̃ μόρον = μορὸν, μαυρὸν (μέλαν)· ἐκ δὲ τȣ̃ Черни́чie ἡ Κερνίτζα, πολίχνη Ἀχαΐας τῆς Πελοποννήσȣ, ὡς συκαμινοφόρος, καθὰ καὶ τὸ ἑλληνικ. Συκαμινέα, ὄνομα κώμης Θεσσαλικῆς παρὰ τὸν Ὄλυμπον, κτλ. ἀλλ' ἴσως ἡ τῆς Πελοποννήσȣ Κερνίτσα παρεφθάρη ἐκ τȣ̃ ἀρχαίου Κερώνεια (Κερωνίτζα)· ὥςε Κερώνειαν ταύτην ὥρα πάλιν ἀποκαλεῖν, καὶ Κερωνείας τὸν Κερνίτσης Ἐπίσκοπον.

Че́рпаю (ἀρύω, - ομαι· ὡς ἐκ τȣ̃ Че́рпу), Σρβ. црпемъ, κάρπω (α = ε. κέρπω), λτ. carpo (ἅρπω, ϳάρπω· ὡς, ἴω, κίω · ἔραμος, κέραμος· ὅθεν ἁρπάγη; ἅρπαλος), ϳάρπαλος, Черпа́ло (ὑδρία, ἄντλημα). τὸ Σλοβακικ. Чрепи, καὶ ἀρχ. Βμ. črzeti (ȣ̔ θαμιςικ. Чревапи), νομίζει ὁ Δοβρόβ. προγενέςερον καὶ πρωτότυπον τȣ̃ Черпати (σελ. 186), ὡς ἐκ τȣ̃ Чре́ю, συγγεν. ῥύω (ῥέω, ϳρέω, σ-ρέω, σ-ρύω), ἐρύω (ἕλκω) = ἢ καὶ συγκοπῇ ἐκ τȣ̃ ἀρύω, (μετὰ

τȢ πνευματισμ. σ-αρύω, σρύω), ὅθεν τὸ λτ. haurio· καὶ τὸ ἀρύω δὲ = ἐρύω, ῥύω (εἰσὶ δ' οἳ παράγȢσι καὶ ἐκ τȢ ἄρω).

Чéрствый, Чéрствъ, 'Ρωσσ. Чéрствъ, Чóрствъ (σκληρὸς, ϛεῤῥὸς), ϛερφὸς (ϛέριφος), ϛριφὸς, ϛιφρὸς, ϛιβρὸς (ϛιβαρὸς), Βενδ. zherstvi (νεαρὸς καὶ παρὰ Βοεμ.=ἀκμάζων, σφριγῶν), ὅθεν καὶ τὸ Σερ. Черстъ=Чверстъ=Чéрствъ (ἐκ μεταθ. τȢ β. οἷον ϛφερὸς ἀντὶ ϛερφὸς, καὶ ϛιφρός), Κρν. chverst· ἢ μήποτε τὸ Чвéрстъ = σ-φριξὸς, σβριξὸς (στ = ξ· ἀντὶ φριξὸς, βρισσὸς, λτ. frixus), συγγεν. τȢ σφριγὸς (σφρῖγος = φρῖγος, ῥῖγος, λτ. frigor, ὅθεν Γρμ. frisch, 'Ιτ. fresco, Γλ. frais, fraiche, μσ. λτ. fresus, frisus, κτλ.)? βλ. Δοβρ. σελ. 189.

Чéртъ, 'Ρωσσ. Чéртъ (πρόφερ. Чiорнъ), Πολων. czart (διάβολος) τέρατος, τέρας (monstrum)? οὐ γὰρ ἂν πιθανῶς ἡ λέξις ἐτυμολογοῖτο ὄτε παρὰ τὸ Терéть, οἷον τρήτης, τείρων. οὔτε παρὰ τὸ Черчу̀ (κέρσω), οἷον κάρτης, κείρων = βλάπτων, ὡς ἐπηρεάζων ὁ διάβολος, ['Εκ δ' αὖ τȢτȢ ἔοικε τὸ Γρμ. Teufel· εἰ καί τισιν, ἐκ οἶδ' ὅπως, ἔδοξε καὶ τὸ διάβολος αὐτὸ, οὕτω δὴ προφανῶς ἑλληνικὸν, τηλόθεν ἐκ Περσίας κατάγειν δεῖν. 'Εκ δ' ȣ̓̃ν τοῦ Teufel δοκȢ̃σιν ὠνομάσθαι καὶ οἱ πάλαι κατὰ Δακίαν Ταϋφάλοι, βόῤῥειον ἔθνος, ὡς Σίντιες καὶ βλαπτικοί τινες γενόμενοι. Εἰσὶ δὲ καὶ παρὰ Καίσαρι Diaulitæ, Γαλατικὸν ἔθνος,

ὗς ἐτυμολογῦσι παρὰ τὸ Κελτικὸν καὶ Βρετικὸν (Breton), diaoul, diaul=Γλ. diable, διάβολος (παρὰ τοῖς χυδαιοτάτοις, διάολος),= διαβολῖται Καὶ τῦς Βέσσυς δέ τινες εἶπον παρὰ τὸ Σλαβον. Бѣсъ (διάβολος) συγγενὲς (οἶμαι) τῦ Бѣдà (πέθα, πάθη, πάθος, πέθος, πένθος. ἐκ τῦ πάθω (πέτω, πίπτω), πάζω, φάζω (σφάζω), καὶ πάζω (πάξω), πάσχω=πάω, παιὼ Бію=πατάσσω, οἷον, φαίσσων, παίσσων= πλήκτης, φόνυ, παθῶν, πένθυς, πτώσεως παραίτιος]. οἱ δέ τινές φασιν (οὐδ' οὗτοί γε πιθανῶς, ἐμοὶ δοκεῖν) τὸ Чéртъ παρὰ τὸ Чéрнъ (μέλας). οὕτω δ' ὖν καὶ τὸ Σ. βρυκόλακας, βυρκόλακας, καὶ βυρβόλακας (δαίμων ἐκ μνημείων), ἐκ τῦ βορβόλυξ, βορμόλυξ= μορμόλυξ (β=μ· ὡς, βύρμαξ, μόρμαξ, Мравей), παρὰ τὸ μορμὼ, μορμὸς (ὅθεν καὶ τὸ μορμόλυξ, μορμολύκιον)=μορβὸς, μορφὸς, μορφνὸς=μαῦρος (βλ. Мрáкъ, καὶ Ржà).

Черчỳ (χαράσσω, ἄγω γραμμὰς, σχεδιάζω) κέρσω, κέρω, κάρω, χάρω (ὅθεν χαράσσω). Чертà (Чрта, γραμμὴ, καὶ ἡ κεραία= apex. βλ. Λυκ. 15, 18), κερτὴ, χαρτὴ (ὡς χάρτης)=χαρακτὴ, Βοεμ.Чара [τὸ δὲ Ῥωσσ.Кáрей (μέλας), ὑκ, οἷον χάραξ, χάρακος, (χαρακτὶς, χαράσσω), ἀλλὰ κατὰ τὸ Πολων· kary= Τυρκικ. καρὰ=μέλας. βλ. Чéрный). Черты̀ личà (χαρακτῆρες προσώπυ). Чертéжъ (σχέδιον) χάρτης (χαράσσω). Чертáло, Σρβ.

црпало, *Вμ.* Черпадло, *Κρν.* zhertalo (*ὕννις*), *ὡς χαράσσεσα. βλ. καὶ Δοβρόβ. σελ.* 188.

Чéсть (*τιμὴ*), *βλ.* Чтỳ.

Четыри, -ре, *τέττυρες* (*ὡς πέσσυρες*) = *τέτταρες, ρα, τέσσαρες, ᾽Ιων. τέσσερες, Ταραντ. τέτορες, τέττορα, Αἰολικ. πέσσυρες, ρα, πίσσυρες, πέτορα, τ=π, καὶ, π=κ, Λιθεν.* kieturi (*Λετιστὶ,* tscherti) = *λτ.* quatuor (*κϜάτϜορα*), *᾽Ιτ. καὶ ᾽Ισπ.* quatro, *Γαλ.* quatre (*καὶ π*= f), *Γοτθ.* fidwor, fidur (*πέτορ-α*), *᾽Αγγσξ.* feother, feower, *᾽Αγγ.* four, *Γρμ.* vier — *Περσ.* tschehar, tschetwere, *᾽Ινδ.* tschatour, *κτλ.* Четвéртый, *τέτϜαρτος, τέταρτος, τέτρατος.* Четверю (*τετϜαρῶ, τετταρῶ*), *τετράζω, εἰς τέσσαρα διαιρῶ.* [*῾Η τε τέσσαρα* (*Αἰολικ. πέτορα, καὶ πέσσυρα*), *καθόλε ἔννοια σημαίνειν δοκεῖ τεταμένον τι, ὡς παρὰ τὸ τάω, τέταμαι, τετὸς, τέτορ, τέταρ, -ρὸς, ὅθεν τέτταρες, τέττορες, τέσσαρες· (ἢ ἐκ τε πέτω, πετάω, πέταρ, πέτορα καὶ πέσσυρα, εἴγε τετο ἀρχαιότερον τε τέτταρα)· καὶ εἴη ἂν ἐξ αὐτῶν τεταμένων τῶν τεττάρων δακτύλων μέτρον* (*παλαιςὴ*)*· ἢ τετράγωνον, πλινθίον· καὶ τὸ πέσσυρα, ἴσως, συγγενὲς τε πεσσὸς, πεττὸς=ἀβάκιον* (*λτ.* tessera). *ὅ γέ μην σοφὸς ῾Ρείμερος ἐκ ἀπιθάνως ἀποδείκνυσι τὸ πεσσὸς συγγεν. τε ψιὰ* (*βλ. λ. πεσσὸς*)*. ὁ δὲ κλεινὸς* E. S. *εἰς Λεννέπ. παράγει τὸ τέσσαρα παρὰ τὸ τάω, ἀντὶ ςάω, ὡς ἀπὸ τῶν ἱςαμένων δηλαδὴ τετραπόδων.*

* *

Чéчетъ (εἶδος σπίζης, fringilla linaria), ὀνοματοποιΐα, ὡς καὶ τὸ σπίζα, σπίζος, σπίγγος, σπίνος, ὅθεν (πσ=στ), τὸ Σ. τσιόνος, τζιόνος. οὕτω καὶ Чéчетъ, τζέτζος, τζίζος, ἀντὶ σπίζος (ἐκ τῆ ἤχου σπι, πι, ὅθεν καὶ σπίζω· καὶ τὶ, τί, τε, τιττίζω, τεττίζω, τέττιξ, τέττιγος Σ. τσίτσικας, ἢ τζίντζικας, καὶ τσίντσυρας· κατὰ τὸ, τίτυρος, τιτυρίζω, Σ. τσιτσυρίζω, τσυρίζω=τυρίζω, συρίζω)· συγγεν. Чижъ.

Чешу̀ (ξέω, πέκω, κτενίζω) σκέσσω, ἀντὶ κσέσσω, ξέσω (ὡς, σκίφος=ξίφος), ξέω, μλ· ξέσω, Κροτ. cheshem (tscheshem, ξέσσημι). Чешѝ (κτεὶς, κτένιον) = ξάνιον (ξάω, ξέω· οἷον, ξέσαλον). Чесóтка (εἶδος, ψώρας) ξέσις, ξύσις, συνήθ. ξύσα (οἷον ξεσοτὴ, ἀντὶ ξεςὴ) „ ξύσμα, λέπρα (Ἡσύχ.). Чешуя̀ (λεπὶς), οἷον (ξεσία), ξέσις, ξέσμα, ξεςόν. Ἐκ τῆ Чешу̀ καὶ τὸ Чесмúна ἰλλυρ. καὶ Чешмúнъ, Чешмúнье, =Ῥωσσ. Падубъ (πρῖνος) οἷον (Чесмà, ξεσμὴ) ξεσμονὴ, (ὡς πρῖνος, ἐκ τῆ πρίω), ἤ, μᾶλλον, ξεςὴ, ςὸν (ὡς ἐκ τῆ ξύω, ξύλον). Καὶ τὸ Чеснóкъ (σκόροδον), οἷον (ξεσινὸν) ξεςὸν (ὡς τριπτὸν), ἢ ξέον=δρύπτον, δρυμάσσον, ὡς δριμὺ (βλ. Δοβρβ. σελ. 101, 190).

Чепáю, Сочепáю (ζευγνύω. Чéпу) σχέθω, συσχέθω.

Чúжъ, σπίζα, σπ=στ (ὡς, σπολὴ, ςολὴ) στ=τσ· τσίζα (fringilla spinus), Ῥωσσ. Чúжикъ, Βμ. Чúжекъ, καὶ Γρμ. Zeisig. βλ. Чéчетъ.

Чúкъ, Чúкаю, ἐπὶ φωνῆς ὀρνίθων, ὡς τὸ

Тикаю. *τίκ, τι, τιττίζω, πιπίζω. πρβ. καὶ κακκάζω, κοκκάζω (κικκάζω, κικκάβη, κικκαβίζω)· βλ.* Чечетъ.

Чинъ (*τάξις, θεσμὸς, ἀξίωμα*). Чиняю, Чиню (*συντάσσω, διατάσσω*). Сочиняю (*συντάσσω, συντίθημι*), *κτλ.* [*τὸ λτ.* cinno, concinno, *φαίνεται = κίνω, κινέω, κίω*, cio, cieo· *ἢ κείνω, ἀντὶ τείνω, συντείνω· ὡς, τόργος*, corvus], *τείνω, τένω, τένος, συντείνω* (*ὡς ἐντείνω*), *ἐκ τȣ̃ τέω=τάω, τάγω, τάζω* (*τείνω*) *τάσσω, τάξις.* (*Ἡ ἰδέα τȣ̃* Чинъ, *καὶ τάξις ἐμφαίνει τεταμμένην γραμμὴν, σειρὰν. βλ. καὶ* Чиню).

Чиню (*ποιῶ, ἐργάζομαι*), *Βομ.* cinjm. *τὸ θέμα* Чну, *ὅθεν* Почну, почати (*ἄρχομαι*)· *καὶ* Чинаю, Начинаю (*ἄρχομαι*)· Зачинаю, (*ἄρχομαι· καὶ ἐπὶ γυναικὸς, συλλαμβάνω*), *κτλ.* [*Τὸ* Чну, *ἀόρ.* Ча, *ἀπαρέμφ.* Чати, *ὡς ἐκ θέματος* Чаю, *φαίνεται=κάω, χάω, γάω* (*Αἰολικ. καύω, γαύω, χαύω*) *= κάπω*, capo, capto, (capio, concipio), *καὶ γαίω* (*= χαύω, χωρῶ, λαμβάνω*), *καὶ γέω,* „*γέντο δ' ἱμάσθλην* (*ἔλαβε. ἀλλὰ τȣ̃τό γ' εἴη ἂν καὶ ἐκ τȣ̃ αἰολ. Fέντο, ν=λ=ἔλτο, ἀντὶ ἕλετο εἷλε, ἕλω*)· *ἐκ τȣ̃ γάω, γέω, καὶ τὸ γένω, λτ.* geno, *γείνω, γίνω,* (*γόννω, Βομ.* konam, *γόναμι*), *γίνημι, γίγνω, λτ.* gigno, *γεννάω,* (*γίνεσθαι ποιῶ*), *ὡς, καὶ γύω = κύω, ὅθεν τὸ* Зачинаю *= κύω, συλλαμβάνω ἐπὶ γυναι-*

κὸς, καὶ ἄρχομαι γενέσεως, ἢ γίνω = γίνεσθαι ποιῶ, παράγω, προάγω· ὅθεν τὸ Чи́нъ καὶ τὰ ἐκ τοῦ τούτου ἀνήκουσιν εἰς τὸ Чиню̀. παράβλ. τὸ λτ. facio (ποιῶ), ἐκ τοῦ (φάζω, φάξω), φάω=φώω=φύω, fuo, fio, foo, fore, κτλ. (βλ. Бывáю). Ἀλλά γε πιθανώτατά μοι δοκεῖ τὸ Чиню̀ = τείνω παρὰ τὸ Чáю (τὸ αὐτὸ καὶ τὸ ἄρτι προσεσημειωμένον), τάω, τέω, τείω (τείνω)=(τέω, τέγω), τάω, τάγω, τέκω, τίκω, (τίκτω), τύκω, τεύχω· ὡς τὸ Γρμ. zeugen=τέκειν, τίκτειν. καὶ Zeug, Zeuch= τεῦχος, κτλ. ἐκ δὲ τοῦ τέκω, δέκω, τὸ δείκω (δείκνυμι), Γρμ. zeigen· καὶ Zeichen, δεῖγμα = τέκμαρ. [ὅθεν οἶμαι, καὶ τὸ δάκτυλος ἐκ τοῦ τάγω (τείνω), δάγω (δάκτος) = δέκω, δείκω, δέχω, -χομαι, ὄργανον ἀμέλειτοι, ᾧ δεχόμεθα, καὶ δεικνύομεν· καθὰ καὶ τὸ λτ. digitus = δείκετος (ὅθεν ἀριδείκετος) = δεῖκτος = δάκτος, δάκτυς, - υλος. ἔστι δὲ γ=κ, καὶ τ = δ, οἷον καὶ τὸ δάκρυον, δάκρυ γέγονεν, οἶμαι, παρὰ τὸ τάκω, τακερὸν, τακυρὸν, μεταθ. τάκρυον. ἢ συγκοπ. τάκρον, τάκρυ. καὶ ταῦτα μὲν λόγου πάρεργον εἰρήσθω]. Ἐκ δὲ τοῦ τάω, τέω, καὶ τὸ τάνω, τένω, τείνω, τίω, Γρμ. ziehen=τύκω, τιτύσκω (βλ. Ῥείμ. λ. τεύχω). γάω, γένω, γεννάω = τέκω, τίκτω = τεύχω, τέτυγμαι = γέγονα. Τὰ ῥήματα ταῦτα μάλιστα παρὰ ποιηταῖς ἀδιαφόρως ἐκλαμβάνονται ἐπί τε γεν-

νήσεως καὶ γενέσεως, ὅθεν καὶ τέκτων=τίκτων = τοκεὺς (ὁ γεννῶν, γίνεσθαι ποιῶν, ποιητης). Ἡ γὰρ ἰδέα καθόλȣ ἐμφαίνει τὴν εἰς τὸ εἶναι παραγωγὴν (productionem), *ἢ προαγωγὴν, φορὰν, καὶ ἁπλῶς, κίνησιν, καὶ ἔκτασιν* (*βλ.* Чáю). [*πρβλ. τὸ λτ.* pario, parens (*τίκτω, τοκεὺς*)=*πορέω, πόρω,* (*ὅθεν καὶ πορεύω,-ομαι*)=*φορέω, φέρω, φάρω, Γρμ.* (baren), ge-bären, geboren (*γεννᾷν*). *Εἴποι δ' ἄν τις ἴσως καὶ τὸ παρθένος παρὰ τὸ πάρω* (*φάρω, φέρω,* pario, partus), *πέπαρται* (*παρθὴν*) = *τέκνον. ἔμοι γε δ' ȣ̓̃ν πιθανώτερον δοκεῖ τȣ̓́νομα ἐτυμολογȣ́μενον παρὰ τὸ πάρδω* (= *ἄρδω, μετὰ τȣ̃ π, βλ.* Хрáстель), *πάρθω* (*ἄρθω, ἄς, ἀρέθω, ὅθεν καὶ ἡ Ἀρέθȣσα= ἄρδȣσα*), *παρθὴν, παρθένος* (*κατὰ, τὰ, αὐχὴν, ἀπτὴν, ἀτμὴν καὶ ἄτμενος, ὠλὴν καὶ ὄλενος*), *τȣτέςιν=νεαρὸς,* (*ὡς καὶ τȣ̃το παρὰ τὸ νέω, νάω, ναρὸς = νέος, ὑγρός*)· *ἢ γȣ̃ν* (*ἐπεί περ τὸ ἄρδω=ἄλδω, τὸ τρέφω*), *εἴη ἂν καὶ τὸ παρθένος=θρεπτὸς, θρέμμα, κατὰ τὸ κόρος, κόρη,* (*ἐκ τȣ̃ κόρω, κέρω,* creo, cresco), *καὶ τὸ παῖς* (*παρὰ τὸ πάω, πάσκω, βόσκω*), *καὶ τὸ Σλαβον.* Дѣва *ἐκ τȣ̃ θεύω* (*θάω*), *τιθαίβω. Τὸ δὲ, παρὰ τὸ παρὰ θέειν τῇ μητρὶ, καὶ, παρὰ τὸ μὴ θῆσθαι* (= *θηλάζειν*), *καὶ παρὰ τὸ ἀνήκȣςον πάρω, ἀντὶ πάω* (*τρέφω· ὥς τισιν ἔδοξεν*), *ἐτυμολογεῖν τὸ παρθένος, ταὐ-*

τό μοι δοκεῖ καὶ παίζειν παρὰ τὰ γράμματα τῦ ὀνόματος, εἰ μή γε καὶ αὐτὸς ἔλαθον πεπαιχώς· καὶ ταῦτα μὲν ταύτῃ. Ἐκ δ' αὖ τῦ πόρω, πέρω, περάω περάσω, τὸ πράσσω, πρᾶξις· ἀλλά γε τὸ Γλ. faire, *(ποιεῖν) εἴη ἂν μᾶλλον ἐκ τῦ* facere, *καὶ ὁ παρὰ τὸ φέρω=πέρω (βλ. καὶ* Беремя, Беру). *Ἐκ δὴ τῦ* Чиню = *τείνω, τὸ* Начинаю *(ἄρχομαι καὶ* Зачинаю), *καὶ* (чаю, чалъ) Начало *(ἀρχὴ)= ἀνατείνω,-τεινέω (ἀνατέω, ἐκ τῦ τέω, ὅθεν καὶ τὸ τέλω, ἀνατέλλω), ἀνατολὴ, οἷον ἀνάτολον,* Начало *(ὅτω καὶ, τέλη=ἀρχαὶ), ὡς καὶ ἄρχω, ἀρχὴ, ἀρχὸς=ὀρχέω, ὀρέγω, ὀριγνάω, ἐκ τῦ ἄρω, ὄρω, ὀρίγω=λτ.* orior, oriens, origo, *ἀπὸ τῦ ἀνατείνειν=ἀναφαίνεσθαι, ἀναφύεσθαι (ὅθεν καὶ ἐπὶ ἀρχῆς). ἐκ τῦ αὐτῦ τέω,* Тѣю, *ἢ* Тею *(βλ.* Тяну), *τέλω, τέλλω, καὶ τὸ* Чело, *τέλος, καὶ τὸ* Человѣкъ *(βλ. τὴν λέξιν)· τὸ δὲ τέω=θέω (τίθημι)=τελέω, τελῶ, παρ' ὃ δοκεῖ καὶ τὸ* Тѣло = *ποίημα (βλ. τὴν λέξιν) καὶ ἔςιν ἄρα τὸ πρωτότυπον* Чяю, Чя = Чаю = Таю, Тѣю *(βλ.* Тяну). [*Εἰς τὸ τένω, τέω, τάω, ἀνακτέον καὶ τὸ λτ.* teneo *(κρατῶ, λαμβάνω)=τάγω, τάω, ,, τῆ τὸ δε κρήδεμνον (ὀδ. ε.* 346 = *τάε=λάβε*= tenez). *ἐκ δὲ τῦ* teneo, *δοκεῖ μοι τὸ* tento *(ὡς ἐκ τῦ τένω, τένδω,* tendo) *Σ. τεντόνω, τέντα* = tentorium) = *ταίνω, τεταίνω (ζυγίζω). ὡς τὸ βάσανος, βασανίζω, ἐκ τῦ βάζω, ὅθεν*

βαςὸς, βαςάζω (= δοκιμάζω, καὶ τȣ̃το πάλιν ἐκ τȣ̃ δόκιμος, δόκω = δέκω, δέχω,-χομαι) =τάγω (κρατω̃, ἀπὸ τω̃ν βαςαζόντων τι πρὸς τὸ γνω̃ναι εἰ βαρύ, ἢ κȣ̃φον)· καὶ ἔςι τὸ tento (= πειρω̃μαι, πειράζω) = δοκιμάζω, βασανίζω· καὶ τὸ Зашѣю δὲ σημαίνει τὸ σκευωρω̃, καὶ πειράζω, tento, κατὰ τὸ tentator = πειράζων, πειρασμὸς = Σ. διάτονος - τανος (διατείνω, διατένω, διατέω, Зашѣю) = Зашѣя (σκευωρὸς). βλ. Зашѣва́ю].

Чиню̀ (ἀνακαινίζω) φαίνεται = καινω̃, καινίζω· ἔςι γέ μην αὐτὸ τὸ ἀνωτέρω Чиню̀ (τείνω, τέω = τέϜω, τέκω, τεύκω, τεύχω).

Чиню̀ (πληρόω, γεμίζω) „ Чини́ть бомбы порохомъ, καὶ τȣ̃τ' αὐτό τὸ πρω̃τον Чиню̀ = τείνω (συντείνω, τιταίνω, Σ. τσιτόνω· διὰ τὸ εὔτονον καὶ πηκτὸν τȣ̃ πληρώματος)· ἐκ = ςείνω (ςέω).

Чи́ркаю, κίρκω, κέρκω, κρέκω (κράζω, ἐπὶ κορώνης) = Ки́ркаю, Кри́каю, κτλ.

Чирли́каю (σπίζω· ἐπὶ σπίνȣ φωνη̃ς) πεποιημένον, ὡς τὸ θρυλλέω, τρυλλέω, τρυλίζω, trillare (καὶ trill = τάρεν, μουσικὸν κρȣμάτιον. Μ. Ἐτυμολ. ὡς τὸ τερετίζω, κτλ.), τρύω, τρύζω, τρύγω, στρύω, θρύω, θρύλος, θρυλέω, τρυλίζω, τρυλίξω (τρυλίκω). βλ. Ῥείμ. λτ. τρύζω.

Число̀ (ἀριθμὸς). βλ. Чту̀.

Чита́ю, βλ. Чту̀.

Чи́стый, Чи́стъ (*καθαρὸς*), *λτ.* castus, *καςὸς* (*κάζω*, *καςὸς-σϑὸς*, *ὅϑεν τὸ καθαρὸς*), *'Ιτ.* casto, *Γλ.* chaste, *Γρμ.* keusch, *Σβ.* kysk, *κτλ.* (*καὶ 'Εβρ.* kedosch)· *ὅϑεν* Чи́щу (*καθαίρω*) = *κάζω*, *κάσδω* (*δ* = *τ* = с, ч· *τὰ γὰρ εἰς* щу *συμπίπτει καὶ τοῖς εἰς σδω* = *ζω*. *οὕτω καὶ* Хочу̀, *χάζω*, *χάσδω*, Хощу̀· *κτλ*). *κάζω* = *σχάζω*, *σχάω* = *ξάω*, *ξέω*, *ξέσω*, Чешу̀.

Чиха́ю, Чха́ю, *καὶ* Чихну̀ (*πτάρνυμαι*) = *Σλαβ.* Кыхати, *Σρβ.* Кияти, *Κρτ.* *Κρν.* kihati, *Βμ.* kychati (ч = к, *ὡς καὶ* ц = к· *βλ.* Це́рква), *ὀνοματοποιΐα*, *ὡς καὶ πτάρω* (*ὅϑεν πτάρνω*, *πτάρνυμαι*), *πτύρω*, *ἐκ τοῦ πτύω* = *ψύω* (*ψ* = *πσ* = *τσ* = *στ*. *ὡς*, *ψίττα*, *σίττα*, *στίζω*) = *στύω* (*τσύω*, *τσύhω*, Чи́ху, Кы́ху), *ὅϑεν καὶ Σ. ὁ ἦχος τοῦ πταρνυμένου*, *τσίφ*, Чи́хъ, *τσοῦφ*, *ψοῦ*, *πτσοῦ*, *καὶ Γρμ.* (ad Rrenum), haptschu machen· *ἐκ τοῦ πτάρνω* (*πτέρνω*, *αἰολ.* *ὅϑεν Σ. πτερνίζομαι*, *καὶ πταρνύζομαι καὶ πταρμύζομαι*), *καὶ τὸ λτ.* (sterno) sternuo, sternuto (*πτ* = *στ*.). *Τὸ δὲ 'Ρσ.* Чка́ю, Чкну̀ (*συγκρούω*, *Σ. τσυγκρῶ*) = *ςίγω* (*τίγω*, Ткну̀), *ςίζω*.

Чі́й, Чі́я, Чі́е (*τίς*, *τί*), *τί-ϊς* (*τί-ϊς*, *τία*, *τί-ϊ*. *βλ.* То́й) = *τί-ος*, *τίος*, *τὶς*, *γεν.* *τέω*, *τίο*, *τίεϜο*, Чіего, *κτλ.* *βλ.* Че́й.

Чі́ю, *ἄχρηςον*· *ὅϑεν* По-чі́ю, *βλ.* Поко́й.

Чле́нъ (*μέλος σώματος*, *ἄρϑρον*, *ἁρμός*), *κῶλον*, *κόλον* (*ο* = *ε*· *οἷον κέλον*, *συγκοπῇ* Чле́нъ. *συγγεν*· *κυλὸς ἐκ τοῦ κύω* = *γύω*,

ὅθεν καὶ γυῖον, γυιὸς). τὸ δὲ κύω = καὶ χύω, χέω, ὅθεν χέλυς (χεῖλος) = Че́люсть (γνάθος, σιαγὼν), οἷον χέλυξ (ξ = στ). βλ. καὶ Че́люсть, καὶ Ýдъ. Членóвный (ἀρθρικὸς). Τό δὲ Σλβ. Члѣновій καὶ Членовныя (μύλαι, dentes molares), μᾶλλον = ἀρχ. 'Ρωσ. Череновые = Чрѣновіе, Чреновный λ = ρ. βλ. Чре́нъ.

Чка́ль, Σρβ. (ὀνόπορδον). βλ. Шку́лъ.

Чма́вамъ, Чма́вати, Σερβ. κοιμάω, -μῶμαι, ἴσως συγκοπ. ἐκ τῦ κοιμάω, κοιμάϜω (κομάϜω, κμάϜω). ἢ κμάω (καμάω, κάμω = κάβω, κύβω, κύω, συγγεν. κέω, κείω, κέκοιμαι, κοίμη, κώμη, κοιμάω, κτλ.).

Чмóкаю (μασσώμενος ἠχῶ, κάπτω), ὡς τὸ, σμώχω, „ σμώχετ' ἀμφοῖν ταῖν γνάθοιν ('Αριςφν'), ἢ πεποιημένον. πρβ. τὸ Γρμ. schmausen (τρώγειν ὀρεκτικῶς, κάπτειν), συγγεν. schmatzen, ἀρχ. schmotzen (μετὰ κρότυ φιλεῖν καὶ ποππύζειν), ὡς καὶ ἡ συνήθης ὀνοματοποιΐα, μάτζ, μούτσ, καὶ 'Ιτ. baccio (φιλῶ). τὸ δὲ Σερβ. Чвокати (β = μ), Κρτ. Цмокати = ποππύζειν, κλώζειν (ὡς καὶ νῦν ποππύζομεν συνθλίβοντες καὶ συμπλαταγῦντες τὰ χείλη, ὥςε πύτζ, ἢ μύτζ ἦχον ἀφιέναι· καὶ τὸ ποππύζω δὲ ἐκ τῦ ἁπλῦ πύζω, ὡς ἐκ τῦ πύζ, πύζ, ποππύζ).

Чóпорный, Чóпоренъ (ἐπιτετηδευμένος, affecté. ἡ λέξις χυδαία, ὡς καὶ τὰ τῆς συνήθ. δημώδη κωμικὰ, τζοπορὸς, -πορλὸς, τζόποροκον-

τός)· ἐκ τοῦ σοβαρὸς, ἢ ςρόβελος = σοβαρὸς, τρυφερὸς (Ἡσύχ.).

Чрéво, καὶ Чрѣво (κοιλία, γαςὴρ), παρηχεῖ μὲν πως πρὸς χέραβος τὸ (χέρβος, χρέβος, συγκοπῇ καὶ μεταθέσει. τὸ ч = χ. ὡς Чóлка = Хóлка), βλ. τὸ Чрéпъ. Ἔςι δ', οἶμαι, Чрéво = τρέϜος, τρέος, τρύος, τρύϜω, τρύπα (τρύπος, τρύφος, τρέπος), συγγεν. Требỳ (βλ. Трéба), Трѣпи, Трỳ, Требýха (διὰ τὸ κοῖλον. Οὕτω καὶ ἐκ τοῦ γάω, γαςὴρ, καὶ γύω, κύω, κῦλος, κοῖλος, κοιλία). τὸ δὲ Σερβ. Црéво, Βμ. strzewo, Πολ. trzewo = σπλάγχνον, ἐντόσθιον, ὡς τὸ αἰολ. γέντερ = λτ. venter, καὶ γέντα = ἐντόσθια, ἐκ τοῦ ἔντος (= ἔγχος, ἄγγος), ὅθεν καὶ τὸ ἔντερον. οὕτω καὶ τὸ, κοιλία πᾶσα (τὰ ἐντόσθια, ὁ ςόμαχος μετὰ τῶν ἐντέρων). κτλ.

Чредà, Ῥωσσ. Черeдà (τάξις, τάξις ἐφημερίας, ἐφημερία, σειρὰ, ῥύμη, κτλ.) ἴσως ἐκ τοῦ Рядa· ἢ συγγεν. τοῦ λτ. ordo = ὄρδος καὶ ὄρδα, ὄρδη (ὅθεν Ἐορδαῖαι = Ἐορδοί. βλ. Ῥείμ. λ. ὄρδημα), (μεταθ. ῥόδα, μετὰ τοῦ πνευμ. s-roda, ч = s, καὶ o = e) = ὄρδημα. ἐκ τοῦ (ἔρδω) ἔορδα (ὄρδον) = ῥέδω, ῥέζω [= ἔργω, ἔργον, ὄργον, ἰδίως, ἀντὶ τοῦ ὑφαίνω, ὕφος, λτ. textus, textura (βλ. Ῥείμ. λ. ὄρδημα). καὶ ὀρδυλεύω = τολυπεύω, ἀπὸ τῆς τάξεως καὶ τάσεως τῶν μίτων τῆς ἐν τῷ ὑφαίνειν καὶ διάζεσθαι. Καὶ τὸ Чредà δὲ

τάσιν ἐπ' εὐθείας καὶ σειρὰν ἔοικεν ἰδανικώτερον δηλῦν]. ἐκ τῦ λτ. ordo ordinis, τὸ νεώτερον, ὄρδινος (ςίχος, τάξις), ὄρδινον (διαταγή), ὀρδιναῖος = ordinarius, ὀρδινεύω = ordinare, διανέμειν· ὅθεν καὶ Чредáю, Чредỳ (σ-ρέδω, ἔρδω), Учредáю = φιλοξενῶ (ἴσως ἐκ τῆς κατὰ τάξιν ὑποδοχῆς τῶν ξένων, ὡς καὶ νῦν ἐν τοῖς καθ' ἡμᾶς χωρίοις κατ' ὄρδινον, ἤτοι κατὰ σειρὰν, καὶ ἐναλλὰξ τοὺς ξένυς οἱ χωρικοὶ ξενίζυσι). πρὸς τὸ Чредà οὐκ οἶμαι τὸ σειράδα (σειρὰς, σειράδος) ἀναλογεῖν· ἀλλὰ τὸ Πολ. trzodà, καὶ czeredà, Κρν. Чреда, Κρτ. Чредо καὶ Чредą σημαίνυσι ποίμνιον· ὅθεν πάλιν τὸ Чредà συμπίπτει πως πρὸς τὸ Γρμ. Heerde.

Чрéзъ, Чрѣзъ, βλ. Чéрезъ.

Чрéпъ, 'Ρωσσ. Чéрепъ, καὶ Чрѣпъ (κρανίον, κάρα, ὄςρακον ἁπλῶς, καὶ τὸ τῶν ὀςρακοδέρμων, πλίνθος, κέλυφος), συνήθ. καράπα, κάραφλον (κρανίον) παρενθ. τῦ λ. ἀντὶ κάραβον (ὡς, καράβιον, Корáбль). ἐκ τῦ κάραβος, κάραμβος = χέραβος, χέραμβος, χηράμβη (χαράβα) χηραφὶς, χηραμὶς ὅθεν καὶ ἡ Σ. χαραμάδα (σχίσμα), κτλ. (παρὰ τὸ, χάρω, κάρω, χάω, διὰ τὸ κοῖλον. βλ. Кроѝ), καὶ Γρμ. Scherbe ἐκ τῦ scheeren = σκάρειν, χάρειν, κάρειν, καίρειν, 'Ολλ. scheuren, κτλ. ὅθεν Черепáха (χελώνη, ὡς τὸ λτ. testudo ἐκ τῦ testa, ὄςρακον) οἷον (ὡς ἂν εἴποις, φορτι-

κώτερον, καθ' Ἕλληνας), καραπάχη, καραπάκα, καραβάκα, (καὶ ἡ χελώνη δὲ ἐκ τῦ χέλυς, χέω, χάω=χάρω).

Что̀, γεν. Чегò καὶ Чесò, (ὃ, ἀναφορ. καὶ = τί ἐρωτηματ.), οὐκ ἀπὸ τῦ ч=σ, συριγμῦ (ὡς ᾠήθημεν διαλαμβάνοντες περὶ ἀντωνυμ. Μέρ. Α.), ἀλλὰ σύνθετον ἐκ τῦ Че (οὐδετέρ. τῦ Чей, Чій), καὶ τῦ то̀, = τί τὸ (ч = τ)=τί τῦτο, ἐρωτηματικ. κυρίως, ὅθεν καὶ ἀναφορικ. ὡς καὶ τὸ, τὸ, 'Ιων.=ὅ· καὶ Σ. δὲ, τὸ=ὅ· καὶ, τί "τό σε λέγω=ὅ, καὶ, τὸ θέλεις, = τί, παρὰ τοῖς Ποντικοῖς ἐν Τριπόλει. οὕτω καὶ τὰ τῦ αἰολικῦ καὶ δωρικῦ τέος, τίος (τὸς, τὶς), καὶ τέως 'Ιωνικ. γενικ. τέω, ὅθεν, καὶ τέϜω, = τέγω, Чегô (καὶ Чесò, =τέσω, ὡς καὶ τόσος, ἐκ τῦ τὸς, ὃς, βλ. Céй). Ὡσαύτως καὶ τὸ кто = къ, то̀ = κὶς, τὸς, κὶ τὸ (ἐκ τῦ ἲς, ϳὶς, κϳὶς, quis)· καὶ κὸς αἰολ. = πὸς (ὅθεν πῦ, πῶς, ποῖος) = κός τις = πός τος = ποῖός τις, ποῖος τὸς, τὸ. [ч = τ = Σ τσ, τζ· ὅθεν καὶ, τζηγαρίζω = τηγανίζω (ν = ρ), ἐκ τῦ τάγω (τάγηνον τήγανον), τάκω, τακερὸς, κτλ.].

Чту̀ [τιμῶ (ὅθεν Читáю, Почитáю = σέβομαι) .— 2, ἀριθμῶ. 3, ἀναγινώσκω, καὶ Читáю, λτ. cito, recito]. ὅθεν Чéсть (τιμή)· Числò (ἀριθμὸς)· Чтéніе (ἀνάγνωσις)· Чтéцъ, Читáтель (ἀναγνώςης) = τίω (τιμῶ), τίζω (ὅθεν ἀτίζω)· καὶ τῖμι, Βομ. ctim., 'Εκ τῦ

τίω, καὶ διπλασιασμ. τιτίω, τιτῶ (Читу̀, συγκοπ. Чту̀, ὅθεν τὸ Ῥωσσ. Читаю=τιτάω, τιτέω, ἀντὶ τέω = τίω, τιτίω, καὶ ταίνω, τιταίνω. [Τὸ τίω σημαίνει τὸ ἐξ' αὐτῦ παράγωγον τιμῶ, καὶ τὸ τίνω (τίννυμι), συγγενὲς δὲ καὶ τῦ ταίνω, τιταίνω (= ἕλκω, ἐπὶ ςαθμήσεως· ὡς τὸ Чту̀, ἐπὶ ἀρθμήσεως, ἤτοι γὰρ ςαθμίζοντες, ἢ ἀριθμῦντες λογιζόμεθα· ὅθεν προῆλθε καὶ ἡ σημασία τῆς τιμῆς. ἡ δὲ τῆς ἀναγνώσεως, ἐκ τῆς τάσεως ἤ τοι δείξεως), ἔςι γὰρ τὸ τίω, ὁ εἰς ιω τύπος τῦ τέω, τένω, τείνω, Чиню· καὶ τὸ τέκω, τείκω, συγγεν. δέκω, δείκω (δείκνυμι), ὅθεν τὸ λτ. dico, dicere (λέγω)· τὸ γέμην λτ. cito φαίνεται ἐκ τῦ κίω, cio ὡς τὸ Σ. διαβάζω = διεξέρχομαι (ἀναγνώσκω), εἰμή γε καὶ τῦτο = κείω, ἀντὶ τείω, τίω (τίτω, Чту̀), c = τ (ὡς corvus, τόργος). τὸ δὲ λέγω μᾶλλον, ἔοικεν ἀπαντᾷν καὶ πρὸς τὰς τρεῖς σημασίας τῦ Чту̀. δηλοῖ γὰρ τό, τε λτ. lego, ἀναγινώσκω ἐν τῷ, ἐπιλέγομαι· καὶ τὸ, λογίζομαι (λογαριάζω)· καὶ τὸ ἀλέγω (λόγον ποιῦμαι τιμῶ)· Καὶ τὸ Γρμ. zahlen, zählen (ἀριθμεῖν), Κτσξ. tellen, tallen = τῷ Σβεκ tälja (λέγειν, βλ. Тóлкъ, καὶ ἀριθμεῖν), συγγεν. τέω, τέλω, τελέω, τὸ δὲ λτ. æstimo = æs-timo, κυρίως ἐπὶ τιμήματος τέλυς, census· βλ. Цѣнà, καὶ Чиню̀].

Чу́бъ (ἐν τῇ μικρᾷ Ῥωσσίᾳ) = Чупру́нъ.

Чýдо (*θαῦμα*). Чуждýся, Чудýся (*θαυμάζω*) *σά-ζω*, *σδω*, *σατὸν*=(*θάζω*), *θάω*, *θατὸν*, *θατὺς*, *θαῦμα*, *θωῦμα*, *θωυτὸν* (*ὅθεν εἴη ἂν καὶ*, *σωυ-τὸν*, *αυ*=*ωυ*=*ου*, *σουτὸν*, Чýдо), *ἢ καὶ* Чýду, Чýжду, *τύζω*, *δω*=*θύζω*, *ἀντὶ θάζω*, *σάω*, *σέω* (*ὅθεν σέϜω*, *σεύω*, *σέβω*), *σόω*, *σύω*=*θάω*, *θέω*, *θύω*, *ὅθεν θάϜω*, *θαύω*, *θαῦμα*. *καὶ*, *θά-βω*, *θάμβος*, *θάπω*, *τάφω*, *τύφω*, *θώπω*, *ὅθεν θώψ*, *κτλ. καὶ τὸ Γρμ.* schauen=*σαύειν*, *ἀντὶ θαύειν*, *θαυμάζειν*, *ὡς καὶ* sehen, *προςακτ.* sah = *σεᾷν*, *θεᾷν*, *θεᾶσθαι*]. Чýждый, *καὶ* Чýдый, Чýждъ, *καὶ* Чýжъ, Чужíй (*ξένος*, *ἀλ-λότριος*), *ὡς τὸ ξένον*, *καὶ ξενίζομαι*=*θαυ-μάζω καὶ θαυμαςὸν*· (*τὰ γὰρ ξένα καὶ ἀήθη ἐμποιοῦσι θάμβος*). *Τοῦ*Чýждъ(Чýдъ)*συγγεν. φαί-νεται καὶ τὸ ἐθνικὸν* Чюдь, *οἱ Φίννοι*· *ὡς ἀνέκαθεν τούτους ἐκάλουν οἱ Σλάβονες*, *καὶ νῦν ἤδη ὀνομάζουσιν οἱ Ῥῶσσοι*, *ξένους δη-λονότι καὶ μὴ Σλάβονας*.

Чупрýнъ, *καὶ Πολ. Βμ.* Чупрына [*προκόμιον*, *προκόττα*, *λτ.* Capronæ· *κυρίως δὲ λόφος*, *τρίχες αἱ πρὸς τὴν κορυφὴν καὶ τὸ μέσον τῆς κεφαλῆς*, *ἃς αὔξεσθαι ἀνιᾶσι περιξυροῦν-τες τοὺς κροτάφους*· *κείρονται δὲ τὸν λόφον τοῦτον οὐ μόνον τῶν νῦν Ἑλλήνων οἱ πλεῖ-ςοι πανταχοῦ τῆς Ἑλλάδος*, *ἀλλὰ καὶ Ῥῶσ-σοι*, *οἱ κατὰ τὴν μικρὰν λεγομένην Ῥωσσί-αν*· *καὶ τούτων πολλοὶ τὰς ηὐξημένας τρίχας ςρέφουσι περὶ τὸ οὖς περιάγοντες οἷον πλε-*

κτάνην (βλ. καὶ Хохо́лъ). Ἦσαν δὲ καὶ " Θρήϊκες ἀκρόκομοι (Ἰλ. δ), τὸ ἄκρον δηλονότι κομῶντες τῆς κεφαλῆς, ἤτοι λόφον κειρόμενοι (βλ. καὶ Ῥείμ. λ. ἀκρόκομος). Τὸ δὲ λόφον κείρεσθαι (ἁπλῶς, ἢ ἐν χροΐ), λέγεται καὶ ἄλλως, περιτρόχαλα κείρεσθαι, καὶ, σκαφίον κείρεσθαι ἢ περιτίλλεσθαι (Σκυθιςί. βλ. Ἀριςφ. Ὄρν. 805, Θεσ. 845, καὶ Ηρόδ. γ, 8, καὶ δ, 175), ὅθεν καὶ ὁ σκαφιόκερος· καὶ ἡ σκόλλυς δὲ καὶ σκολλὶς = σκαφίον, ὅθεν καὶ Σ. σκολύδιον, καὶ συγκοπ. σκλύδιον, ὁ τῶν τριχῶν λόφος, καὶ σκελλίον (παρὰ τοῖς Βυζαντίοις)· σκελλίον δὲ λέγομεν καὶ λίνε μικρὰν τολύπην, διὰ τὴν ὁμοιότητα. Τὸ γὲν ἐν χροΐ, ἢ ἐν χρῷ κείρεσθαι = ξυρᾶσθαι = σκυθίζειν· τὅτο δ' ἐ παρὰ τὸ Σκυθίζω = μιμὅμαι τὲς Σκύθας (καί τοιγε καὶ Σκυθῶν καὶ Ἀράβων καὶ ἄλλων ἐθνῶν Ἀσιανῶν εἰωθότων ξυρᾶσθαι τὴν κεφαλήν· ὅθεν παρ' Ἕλλησι τὸ μὲν ξυρᾶσθαι, ἤτοι ἐν χρῷ κείρεσθαι, ἀτιμότερον, τὸ δὲ κείρεσθαι, Σ. κερεύεσθαι, συνηθέςερον), ἀλλὰ τὸ σκυθίζειν ἐκ τὅ σκύτος = σκυτίζειν, ἄχρι σκύτες, ἐν χρῷ κείρειν = ξυρᾶν. τὸ δὲ σκύτος = κύτος, ἐκ τὅ κύω, ὅθεν καὶ ἡ σκύτα (κεφαλὴ) = (κύτα), κόττα, κόδδα, κωδὰ =(κύω, κύβω), κυβὴ, κωβὰ, κύφα, κυφὴ, κεφαλὴ, κτλ. λτ. caput, Γρμ. Kopf, καὶ Haupt, Haube, Sc-haube, ὅθεν Sc-hober (κόρθυς)· κα-

θὰ δὴ καὶ τὸ σκαφίον καὶ σκαφὶς, ἐκ τȣ̃ σκάφη, σκάφος = σκύφος = σκύθος (θ=φ), σκύτος, ὅθεν καὶ σκαφίον ὁ λόφος, ὡς καὶ ὁ κρώβυλος, ἐκ τȣ̃ κόρυμβος, κορυφὴ, καὶ ἡ κορυφαία, καὶ ὁ κόσυμβος, κοσύμβη = κόρυμβος, καὶ ἡ προκόττα ἐκ τȣ̃ κόττα. τό γε μην λτ. capronæ *ἔοικεσυγγν. τῷ* capreolus *(ἕλιξ)· ȣ̉ παρὰ τὸ* capra, *ἡ αἴξ, οἱονεὶ διὰ τὴν προκότταν τῶν αἰγῶν καὶ τράγων· εἰ μήγε καὶ τȣ̃το =* Чупрына]. *Τȣ̃ γȣ̃ν* Чупрýнъ Чупрына *πρωτότυπον τὸ* Чýпъ = Чýбъ = *Σ. (παρ᾽ Ἠπειρώταις) τζιέπα, τζιέφα, τζέφα (ὁ λόφος, ὅθεν Ἰτ.* ciuffo, *βλ. καὶ* Хολόлъ· *καὶ τζȣ̃φος δὲ παρά τισιν ἐπίθετ. κωμικῶς, ὁ ἄλλως, ἀναμαλλιάρης)=σκύφα (σκ=στ, τσ, τζ. καὶ κ = τ. ὅθεν, οἶμαι, καὶ τὸ* tufa, *Σ. τȣ́φα=κύφα, ὡς τόφος,* tophus, Tuff*=κόφος, κȣ̃φος, βλ. Ῥειμ. ἡ τȣ́φα=τύφη=ἀνθήλη)· καὶ (παρὰ Θεσσαλοῖς), τζαμπὰς, τζαπὰς=σκαπὰς (ἀντὶ σκαφὰς, φὴ, σκαφὶς, σκαφίον), καὶ (παρὰ Πελοποννησ.), τζȣτίνα,=σκυτίνα (ἐλλειπτ. θρὶξ, κόμη)· ὡς καὶ* Чупрýнъ, Чупрына, *τζȣπρίνα οἷον σκυφρίνα, ἐκ τȣ̃ σκύφαρ, σκύπφαρ = σκύφας, σκύφος. [ἐκ τȣ̃ σκύφαρ, μεταθ, σκύφρα, καὶ ἡ Σ, τζέπρα = μέτωπον ἐξέχον, ὡς καὶ κέττελον, ἐκ τȣ̃ κύτα, κόττα, βλ.* Кýдръ. *τὸ δὲ παρ᾽ Ἠπειρώταις τζέπρα (= κόρη), Ἀλβανικὸν, καὶ ἴσως συγγεν. τȣ̃ (σκύθρα), σκύθραξ, καὶ σκύρθαξ=νεανίας,*

Λακωνικῶς, ὁ καὶ κυρσάνιος, ἐκ τȣ̃ κύω κύρω, κίρω, σκίρω, σκιρτῶ, κτλ.]. Чуприна (ἀρχ. Ῥωσσικ· = σκευὴ ςρατιωτικὴ, θώραξ, περικεφαλαία, κτλ.) καὶ τȣ̃το, σκυφρίνα = σκύφαρ, σκύφος, σκύθος, σκύτος, λτ. scutum, (διὰ τὴν ἐκ δερμάτων ςρατιωτικὴν σκευὴν, ὡς καὶ τȣ̃το δὴ παρὰ τὸ σκεύω = σκέπω, σκέω, κέω, κύω, κεύθω. βλ. καὶ Ῥείμ. λ. σῦς, σιβήνη).

Чу́ръ (ἐπιφώνημα παρακελεύσεως), ὀνοματοποιΐα, τζὲρ = ψὲρ, ψὺρ, ψὺτ = ψὶς, ψίττα, ὡς τὸ Чу́ть. (τὸ Σ. σὲ, σιὲ = σὺ = ὦ σὺ, ὦ ȣ̃τος, οὗτος). Τὸ δὲ Чу̀ φαίνεται ἐκ τȣ̃ Чу́ю, κέω, κέε (κȣ̃).

Чу́ть, σχεδὸν (ἐκ, οἷον σχυδὸν, σκυδ-ὸν), ἀλλὰ τσέτ, ἀντὶ ψέτ, ψύτ, ψύττα = ψίττα (βλ. Цыцъ), οἷον ψύτ ἀνὰ μέσον, παρὰ ψὺτ (ὡς τὸ, παρ' ἀκαρῆ, παρ' ὀλίγον, θρὶξ ἀνὰ μέσον, βλ. Труха̀). ч = ψ. βλ. τὸ ἐφεξῆς.

Чу́чела (φόβητρον, ἐκ βύρσης μάλιςα, ὡς καὶ τὸ Σ. σκίαςρον), κύκελα = κυκύλη, κύκυλος cucullus, κύλον, Γρ. Hülle (Höhle), σκύλον = δέρμα. βλ. Ку́кля. [τὸ δὲ Σ. τσίτσιλος, ἢ τζίτζιλος, καὶ (λ = δ), τζίτζιδος (γυμνὸς) = ψιλὸς (διπλασιασμῷ, ψίψιλος, ὡς, τσιτσυρίζω, τσυρίζω = τιτυρίζω, τίτυρος = σίσυρος, σύρω, συρίζω, κτλ.), ὅθεν καὶ, τζιτζὶ = κρέας, λέγȣσιν αἱ τροφοὶ παρατραυλίζȣσαι πρὸς τὰ βρέφη (ὡς ψιλὸν, γυμνὸν δέρματος τὸ κρέας·

* *

καὶ κωμικῶς δὲ λέγȣσιν οἱ πολλοὶ " φαίνονται τὰ τζιτζιά τȣ = τὰ γυμνά τȣ, ἐκ τȣ̃ ἔτι παρεφθαρμένȣ τζίτζιον, ἀντὶ τζίτζιλον). *ἔςι δὲ καὶ τζ, ἢ τσ = ψ (= ξ, κσ, τσ, τζ), ὡς καὶ τσηλόνω λέγȣσιν οἱ χυδαῖοι τὸ ὑψηλόνω (ψηλόνω), ἐπὶ ὀφρύων μάλιςα (ὅθεν τζηλωμένος, μένη), καὶ ἐπὶ ὤτων " ἐτσήλωσȣ (παρὰ Πελοποννησ. ἐτσιέλωσε) τὰ αὐτία (ὀρθὸν ἔςησε τὸ ȣ̓̃ς), καὶ τσȣλίον δὲ καὶ τσȣλῆ =ψωλίον, λῆ, κτλ.*].

Чýшь, *καὶ* Чýхъ (*ἐπίφθεγμα πρὸς χοίρων δίωξιν. ὡς τὸ χύῤῥα*) = *σῦς, σοῦς, ἐκ τȣ̃ σῦς, συὸς, λτ.* sus, = *ὗς* (*καὶ νῦν οἱ Λάκωνες πρὸς τοὺς χοίρους ἐπιφωνȣ̃σιν, ὗν, ὗν καὶ ὗϊν. Εἴη δ' ἂν καὶ ἁπλȣ̃ν ἐπίφθεγμα τὸ* Чýшь, *ὡς τὸ Γρμ.* husch, *καὶ τὸ τῆς συνηθ. πρὸς ὄνȣς, τσȣ̓́σσ, καὶ οὖσσ* = *'Ρωσσ.* Усь (*ἐπίφθεγμα πρὸς κύνας, βλ. καὶ* Цыцъ). *τσούσσ δέ, καὶ τζείσσ λέγουσιν αἱ καθ' ἡμᾶς τροφοὶ καὶ πρὸς τὰ παιδία ἵνα ȣ̓ρήσωσιν, ὡς τὸ ἀρχαῖον, σεῖν* (*Φώτ. λεξ.*), *βλ.* Счў.

